«Χριστὸς Κύριος» εἶναι ὁ τεχθεὶς ὑπὸ τῆς Παρθένου Μονογενής, «καὶ πρὸ σαρκὸς»[2436] «καὶ μετὰ σάρκωσιν»[2437], «"χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας"[2438]»[2439]. Χριστὸς ὅμως λέγεται διὰ τὴν ἐνανθρώπησιν καὶ «ἀφ' οὗ ἐν γαστρὶ τῆς ἁγίας Ἀειπαρθένου ἐσκήνωσε καὶ σὰρξ ἀτρέπτως ἐγένετο καὶ ἐχρίσθη ἡ σὰρξ τῇ θεότητι»[2440]. Χριστὸς σημαίνει κεχρισμένος. «Χριστὸς» καλεῖται ὁ σαρκωθεὶς Λόγος «διὰ τὴν θεότητα. Χρίσις γὰρ αὕτη» ἐστὶ «τῆς ἀνθρωπότητος» αὐτοῦ, «ἧς (χρίσεως) ἔργον, ἄνθρωπον ἀκοῦσαι τὸ χρίον (ἡ θεότης) καὶ ποιῆσαι Θεὸν τὸ χριόμενον (τὴν ἀνθρωπότητα)»[2441]. Τοῦτο δέ, διὰ τὴν ἀντίδοσιν τῶν ἰδιωμάτων τῶν δύο φύσεων, θείας καὶ ἀνθρωπίνης καὶ τὴν περιχώρησιν αὐτῶν, λόγῳ τῆς ὑποστατικῆς ἢ ἄλλως προσωπικῆς ἑνώσεως αὐτῶν ἐν τῷ Θεῷ Λόγῳ. «Καὶ οὗτός ἐστιν ὁ τρόπος τῆς ἀντιδόσεως, ἑκατέρας φύσεως ἀντιδιδούσης τῇ ἑτέρᾳ τὰ ἴδια, διὰ τὴν τῆς ὑποστάσεως ταυτότητα καὶ τὴν εἰς ἄλληλα αὐτῶν περιχώρησιν»[2442]. Διὸ «ὁ Χριστός, ὅπερ ἐστὶ τὸ συναμφότερον, καὶ Θεὸς καὶ ἄνθρωπος λέγεται, καὶ κτιστὸς καὶ ἄκτιστος, καὶ παθητὸς καὶ ἀπαθής»[2443]. «Κτιστὸς καὶ παθητὸς διὰ τὴν ἀνθρωπότητα αὐτοῦ, καὶ ἄκτιστος καὶ ἀπαθὴς διὰ τὴν θεότητα. Διότι «ἡ θεότης» «τῶν τῆς σαρκὸς παθῶν διαμένει ἀμέτοχος»[2444]. «Ἡ ἀνθρωπίνη τοῦ Κυρίου σάρξ», «οὐ τῇ θεότητι μετέδωσε τῆς οἰκείας ἀσθενείας», ἀλλ' «αὐτὴ μετέσχε τῆς θεότητος»[2445]. Τὸ ὄνομα «Χριστός», οὐ φύσιν, «ἀλλ' ὑπόστασιν δηλοῖ σύνθετον ἐκ θεότητός τε καὶ ἀνθρωπότητος»[2446]. Δηλαδή, «τὸν ἕνα τῆς ἁγίας ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος»[2447] Θεὸν Λόγον. Ὁ εἷς τῆς Τριάδος Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἐνηνθρώπησενπρὸς σωτηρίαν, ἀλλ' ἡ ὅλη Τριὰς ἐνεργεῖ (ἰ. ἀ. σ. 8 - 9). «Ἀχώριστός» ἐστιν «ἡ Τριάς, ἀδιαίρετος ἡ Τριάς»[2448]. Ἡ «τοῦ Χριστοῦ προσηγορία τοῦ παντὸς ἐστιν ὁμολογία. Δηλοῖ γὰρ τόν τε χρίσαντα

2434. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1116.
2435. Κυρίλλου Ἀλεξ., PG. 72, 488.
2436. Κυρίλλου Ἀλεξ., M. 4, 652.
2437. Ὅρου ΣΤ' Οἰκουμενικῆς Συνόδου, M. 11, 640.
2438. Ἑβρ. ιγ' 8.
2439. Γρηγορ. Θεολόγου, PG. 36, 313.
2440. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1112.
2441. Γρηγορ. Θεολόγου, PG. 36, 132.
2442. Κυρίλλου Ἀλεξ., PG. 77, 1172.
2443. Ἰ. Δαμασκηνοῦ, PG. 94, 997.
2444. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1057 - 1060.
2445. Μ. Βασιλείου, PG. 31, 1461.
2446. Κυρίλλου Ἀλεξανδρείας κ.ἄ., PG. 77, 1161.
2447. Ὅρου ΣΤ' Οἰκουμενικῆς Συνόδου, M. 11, 636.
2448. Χρυσοστόμου, PG. 62, 767.

Θεὸν (Πατέρα) καὶ τὸν χρισθέντα Υἱὸν καὶ τὸ χρῖσμα τὸ Πνεῦμα»[2449]. Οὕτω, τῷ «ὀνόματι τούτῳ, τὸ τῆς Τριάδος ὁμολογεῖται μυστήριον, ἐν ᾧ καὶ τὸν χρισθέντα καὶ τὸν χρίσαντα καὶ τῷ ᾧ ἐχρίσθη διδασκόμεθα. Εἰ γὰρ ἕν τι τούτων λείποι, τὸ τοῦ Χριστοῦ ὄνομα οὐχ ὑφίσταται»[2450]. Ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτοῦ, «ἐπειδὴ ἔμελλεν ἐν κόσμῳ κηρυχθῆναι τὸ τῆς Ἁγίας Τριάδος μυστήριον», τὸ «δυσερμήνευτον» καὶ «ἀκατάληπτον»[2451] (ἰ. ἀ. σ. 45). Ἐκπεσόντος τοῦ πρώτου Ἀδάμ, ὁ Χριστὸς ἐστιν ἡ ἀληθὴς «εἰκὼν» καὶ ὁμοίωσις τοῦ Πατρός, καὶ ἡ ἀποκάλυψις τῆς Ἁγίας Τριάδος, καὶ «τὸ πρότυπον» τοῦ Ἀδὰμ καὶ παντὸς ἀνακαινιζομένου ἀνθρώπου διὰ τοῦ τεχθέντος Σωτῆρος[2452]. «Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή», εἶπεν ὁ Χριστός, καὶ «οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ»[2453]. Ἐκτὸς Χριστοῦ οὐκ ἔστι σωτηρία. Ὁ Χριστὸς ἐστιν ὁ μόνος Σωτήρ.

«Ἐτέχθη ὑμῖν σήμερον Σωτήρ», εἶπεν ὁ «ἀρχάγγελος»[2454]. Δηλαδὴ ἐτέχθη ὁ Ἰησοῦς Χριστός. Τὸ «Ἰησοῦς ὄνομα ἑβραϊκὸν» «ἐστί, σημαίνει δὲ τὸν Σωτῆρα»[2455], καθ' ὅτι «Ἰησοῦς» «Σωτὴρ ἑρμηνεύεται»[2456], ἢ «σωτηρία λαοῦ»[2457]. «Ἅμα» «ἐγεννήθη Χριστός, καὶ ἡ τοῦ Διαβόλου δύναμις ἐσκυλεύετο» «καὶ ἡ τῆς ἐκείνου τυραννίδος ἰσχὺς συνεθραύετο»[2458]. Διὸ οἱ ἄγγελοι αἰνοῦντες ἔλεγον, «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία». «Γέγονεν οὖν ἡμῖν εἰρήνη τε καὶ εὐδοκία Χριστός».«Εὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι (ἵνα ἀνακεφαλαιώσῃ) τὰ πάντα ἐν αὐτῷ» καὶ ἑνώσῃ «τοῖς ἄνω τὰ κάτω» καὶ ποίμνην ἀναδείξῃ «μίαν τούς τε ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[2459]. Ἄγγελοι ἐμήνυσαν τὴν χαρμόσυνον γέννησιν τοῦ Σωτῆρος πρὸς ποιμένας υἱῶν Ἰσραήλ. Πρὸς ποιμένας ἀποκαλύπτεται «τὸ ὑπὸ τῶν ἀγγέλων ὑμνούμενον μυστήριον» περὶ τοῦ καλοῦ Ποιμένος καὶ εἰς δήλωσιν, ὅτι «οἱ πνευματικοὶ ποιμένες ἔμελλον τὴν εἰρήνην ἐπιφωνεῖν (διδάσκειν) παντὶ τῷ τῆς Ἐκκλησίας πληρώματι»[2460]. «Χριστὸς Κύριος» καὶ «Ἐμμανουὴλ» ὁ Σωτήρ. Κύριος, ὅτι Θεὸς ὁ Χριστός, καὶ Ἐμμανουήλ, ὅτι «μεθ' ἡμῶν ὁ Θεός»[2461]. «Ἐπειδὴ ἑρμηνεύεται» «τὸ Ἐμμανουὴλ "μεθ' ἡμῶν ὁ Θεός"»[2462], βοᾷ ἡ προφητικὴ φωνή, καλοῦσα εἰς σωτηρίαν: «Γνῶτε ἔθνη καὶ ἡττᾶσθε», ὅτι μεθ' ἡμῶν ὁ Θεός»[2463].

2449. Μ. Βασιλείου, PG. 31, 1461.
2450. Γρηγορ. Νύσσης, PG. 44, 545 - 548.
2451. Γρηγορ. Νύσσης, PG. 44, 1340.
2452. Μ. Φωτίου, PG. 101, 260.
2453. Ἰωάν. ιδ' 6.
2454. Κυρίλλου Ἀλεξ., PG. 72, 496.
2455. Ζιγαβηνοῦ, PG. 129, 117.
2456. Ἰ. Δαμασκηνοῦ, PG. 96, 709.
2457. Μ. Βασιλείου, PG. 31, 1465.
2458. Κυρίλλου Ἀλεξ., PG. 72, 492.
2459. Κυρίλλου Ἀλεξ., PG. 72, 496.
2460. Κυρίλλου Ἀλεξ., PG. 72, 489.
2461. Ματθ. α' 23. Ἡσ. ζ' 14.
2462. Μ. Βασιλείου, PG. 31, 1465.
2463. Ἡσ. η' 9, 10.

Πότε ἐγεννήθη ἐν Βηθλεὲμ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; Εἰς «τὰ τέλη τῶν αἰώνων»[2464]. Ὅτε «ἐνειστήκει (εἶχε φθάσει)» «ὁ ἐπιτήδειος πρὸς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου καιρός», ὁ «πάλαι προωρισμένος καὶ προδιατεταγμένος πρὸ καταβολῆς κόσμου»[2465]. Ὁ Πατὴρ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον «ἐπὶ συντελείᾳ τῶν αἰώνων. Τοῦτο γὰρ εἶδε λυσιτελεῖν (ὅτι συμφέρει) πάσῃ τῇ κτίσει»[2466].

Ποῖον χρόνον ἐτέχθη ὑπὸ τῆς Θεοτόκου ὁ Κύριος τῆς δόξης;[2467]. Τὴν 25ην Δεκεμβρίου τοῦ ͵εφζ΄ (5507) ἔτους ἀπὸ κτίσεως, ἡμέραν τῆς ἑβδομάδος Τετάρτην καὶ «ὥρᾳ ζ΄ (ἑβδόμῃ) τῆς νυκτός»[2468]. Δηλαδὴ ὁ Χριστὸς ἐγεννήθη «ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει» τοῦ Ρωμαίου καίσαρος Αὐγούστου[2469]([35]). Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου ἐγένετο τὴν 25ην Μαρτίου τοῦ ἔτους 5507. «Ὅθεν καὶ ἐννέα μῆνας ἀριθμοῦντες», λέγει Ἰωάννης ὁ Χρυσόστομος, ἀγόμεθα εἰς τὸν «μῆνα»[2470] Δεκέμβριον. Οὕτως ἔχομεν, Μαρτίου ἡμέρας 6, 31 πλὴν 25 ἴσον 6, καὶ Ἀπριλίου ἡμέρας 30 καὶ Μαΐου 31 καὶ Ἰουνίου 30 καὶ Ἰουλίου 31 καὶ Αὐγούστου 31 καὶ Σεπτεμβρίου 30 καὶ Ὀκτωβρίου 31 καὶ Νοεμβρίου 30 καὶ Δεκεμβρίου 25, ἤτοι σύνολον 275 ἡμέρας. Αἱ 275 ἡμέραι ποιοῦσι 5 μῆνας ἐκ 31 ἡμερῶν καὶ 4 μῆνας ἐκ 30 ἡμερῶν, ἤγουν 9 ἡλιακοὺς μῆνας. Διότι 31 ἐπὶ 5 ἴσον 155 ἡμέραι καὶ 30 ἐπὶ 4 ἴσον 120 ἡμέραι, ἤτοι συνολικῶς 275 ἡμέραι. Ἐπειδὴ αἱ 6 ἡμέραι τοῦ Μαρτίου συμπληροῦσι τὰς 31 ἡμέρας τοῦ Δεκεμβρίου, οἱ 9 μῆνες ἀπὸ «τοῦ Εὐαγγελισμοῦ ἕως τῆς Γεννήσεως ἀριθμοῦνται οὕτως, Ἀπρίλιος, Μάϊος, Ἰούνιος, Ἰούλιος, Αὔγουστος, Σεπτέμβριος, Ὀκτώβριος, Νοέμβριος, Δεκέμβριος»[2471]. Ἡ δὲ ἑβδόμη νυκτερινὴ ὥρα ταυτίζεται κυριολεκτικῶς πρὸς τὴν πρώτην μεταμεσονύκτιον σημερινήν. Νοεῖται ὅμως ἡ ἑβδόμη ὥρα τῆς νυκτὸς μᾶλλον ἐλαστικώτερον, ἤτοι δηλοῦσα τὸν χρόνον τῶν πρώτων μεταμεσονυκτίων ὡρῶν μέχρι καὶ τῆς τρίτης. Λέγοντες ὅτι ἑβδόμην ὥραν τῆς νυκτὸς ἐγεννήθη ὁ Χριστός, δέον ὅπως νοῶμεν τὸν τρίωρον τοῦτον χρόνον, ἢ τὴν τρίτην νυκτερινὴν ὥραν.

Τὴν Τετάρτην ἡμέραν τῆς ἑβδομάδος ἐγεννήθη ὁ Χριστός, ἤτοι «καθ᾽ ἣν ἡμέραν ἐδημιούργησε τοὺς φωστῆρας»[2472] (ἰ. ἀ. σ. 25). Ταύτην τὴν ἡμέραν ἡ γέννησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ «ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως» καὶ οἱ ἐν πλάνῃ «ἐδιδάσκον-

2464. 1 Κορινθ. ι΄ 11.
2465. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 228.
2466. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 30, 147.
2467. 1 Κορινθ. β΄ 8.
2468. Χρον. Πασχάλ., PG. 92, 496 - 497, 545.
2469. Ἐπιφανίου Κύπρου, PG. 43, 260. Χρον. Πασχάλ., PG. 92, 465. Χρυσοστόμου, PG. 50, 799. Ἀποστολικῶν Διαταγῶν, ΒΕΠΕΣ, 2, 84.
2470. Χρυσοστόμου, PG. 49, 358.
2471. Ἰωάννου Νικαίας, PG. 96, 1445.
2472. Χρον. Πασχάλ., PG. 92, 497.

το» αὐτὸν «προσκυνεῖν» ὡς «τὸν ἥλιον τῆς δικαιοσύνης (ἀρετῆς)» καὶ αὐτὸν «γινώσκειν ἐξ ὕψους ἀνατολὴν» καὶ δοξάζειν εἰς τοὺς αἰῶνας[2473].

II
Η ΠΛΗΡΩΣΙΣ ΠΑΣΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἦλθε «καταλῦσαι τὸν νόμον ἢ τοὺς Προφήτας», «ἀλλὰ πληρῶσαι»[2474]. Καί, μέχρι τοῦ ἁγίου αὐτοῦ Βαπτίσματος ὑπὸ τοῦ Ἰωάννου τοῦ Προδρόμου, ἐπλήρωσε «πᾶσαν δικαιοσύνην»[2475].

α') «ΓΕΝΟΜΕΝΟΣ ΥΠΟ ΝΟΜΟΝ»

Γενόμενος «ἐκ γυναικὸς» ὁ Χριστός, ἐγένετο καὶ «ὑπὸ νόμον»[2476] καὶ «ὑπήκοος μέχρι θανάτου»[2477] «κατὰ τὴν σάρκα»[2478]. «Ἁμαρτίαν οὐκ ἐποίησεν»[2479], ἐτήρησε τὸν νόμον[2480] καὶ ἐπλήρωσε «πᾶσαν δικαιοσύνην»[2481]. Διὸ ἔλεγε πρὸς τοὺς μαθητάς· «ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα»[2482]. Καὶ πρὸς τοὺς ἀπειθοῦντας Ἰουδαίους· «τὶς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;»[2483]. Καὶ ἐγκαλῶν τούτους δικαίως ἔλεγεν· «οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν νόμον; Καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον»[2484]. Ἐν καιρῷ καθολικῆς ἀποστασίας καὶ γενικῆς παραβάσεως τοῦ θείου νόμου, ὁ Χριστὸς ἐτήρησε τὸν νόμον, αὐτὸς ὢν ὁ νομοθέτης καὶ «ὁ νόμος»[2485] καὶ ἡ ἀποκάλυψις αὐτοῦ. Θεὸς γὰρ καὶ ἀπολύτως ἅγιός ἐστιν ὁ σαρκωθεὶς Λόγος.

1. Περιτομὴ ὀκταήμερος

Ὅλον τὸν νόμον ἐτήρησεν ὁ Χριστός. Διὸ καὶ περιετμήθη, «ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ»[2486] ἀπὸ τῆς γεννήσεως, κατὰ τὸν νόμον (ἰ. ἀ. σ. 98). Περιετμήθη δὲ «ἐν τῷ σπηλαίῳ»[2487]. Τότε «καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου, πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ»[2488].

2473. Ἀπολυτικίου Χριστουγέννων.
2474. Ματθ. ε' 17.
2475. Ματθ. γ' 15.
2476. Γαλάτ. δ' 4.
2477. Φιλιππησ. β' 8.
2478. Κυρίλλου Ἀλεξ., Μ. 4, 833.
2479. 1 Πέτρ. β' 22.
2480. Ματθ. ε' 17.
2481. Ματθ. γ' 15.
2482. Ἰωάν. ιε' 10.
2483. Ἰωάν. η' 46.
2484. Ἰωάν. ζ' 19.
2485. Ἱππολύτου, ΒΕΠΕΣ, 6, 195.
2486. Λουκ. β' 21.
2487. Ἐπιφανίου Κύπρου, PG. 41, 273.
2488. Λουκ. β' 21.

Ὁ «Κύριος» «περιετμήθη», «ἵνα πληρώσῃ τὸν νόμον»[2489] καὶ χαρίσηται εἰς ἡμᾶς τὴν καινὴν περιτομὴν τῆς «καρδίας ἐν πνεύματι»[2490]. «Τύπος ἦν καὶ σύμβολον τοῦ Βαπτίσματος ἡ περιτομὴ»[2491] τοῦ νόμου. Δηλαδή, «τύπος» τῆς «διὰ τοῦ Βαπτίσματος ἀπεκδύσεως» τοῦ παλαιοῦ ἀνθρώπου τῆς ἁμαρτίας. Διὸ «ἐν ἐκείνοις τοῖς μέλεσιν» τοῦ σώματος «ἐνετείλατο» ὁ Θεὸς «γίνεσθαι (ἵνα γίνηται), δι' ὧν καὶ γεννᾶται τὸ σῶμα»[2492]. «Καθάπερ γὰρ ἡ περιτομὴ οὐ χρειῶδες μέλος ἀποτέμνει τοῦ σώματος, ἀλλὰ περίττωμα ἄχρηστον, οὕτω καὶ διὰ τοῦ ἁγίου Βαπτίσματος τὴν ἁμαρτίαν περιτεμνόμεθα»[2493]. Οὐχ ὅτι ἡ ἀκροβυστία εἶναι κακόν, καθ' ὅτι, ὡς ἔργον δημιουργίας Θεοῦ, ἐστὶ «τοῦτο λίαν καλόν». Ὁ δὲ Θεὸς «ἐνομοθέτησε περιτέμνεσθαι τὴν ἀκροβυστίαν» τὸ παλαιόν, οὐχ «ὡς βλαβερὰν καὶ ἀκάθαρτον», ἀλλὰ συμβολικῶς. Ἤτοι, «διὰ τῆς τοιαύτης περιτομῆς ὡς συμβόλου, τὴν ἐμπαθῆ τῆς ψυχῆς ἐκέλευσε περιτέμνεσθαι διάθεσιν»[2494]. «Διὰ τῆς πνευματικῶς ἐπιτελουμένης» «περιτομῆς», «ἡ φύσις τὸ ἐμπαθὲς ἀποτίθεται, περιαιρουμένη (ἀπεκδυομένη) τὸν σαρκώδη βίον»[2495]. Οὕτως, «ἡ περιτομὴ» «ἑρμηνεύει» «τὴν τῶν νεκρῶν δερμάτων ἀποβολήν», «ἃ μετὰ τὴν παρακοήν, τῆς ζωῆς γυμνωθέντες, ἐνεδυσάμεθα»[2496] (ἰ. ἀ. σ. 69).

Ὁ Χριστὸς «περιετμήθη», «καὶ τὸ Σάββατον» «καὶ πάντα» «τὸν νόμον» «ἐτήρησεν, ἵνα πληρώσῃ καὶ στήσῃ τὸν νόμον»[2497], καὶ ἀναγάγῃ τοὺς ἀνθρώπους εἰς τὴν ἀλήθειαν καὶ τὴν Χάριν. «Μήπω (μὴ ἀκόμη)» «τῆς ἀληθείας φανερωθείσης, τὸν τύπον (τῆς περιτομῆς) ἐπικρατεῖν ἔδει (ἔπρεπε)· ἐπιστάσης δ' ἐκείνης, ταύτην (τὴν περιτομὴν ἔδει) ὑποχωρεῖν»[2498]. «Ἀφ' οὗ δὲ ἐβαπτίσθη» ὁ Χριστὸς «καὶ τὸ Πνεῦμα τὸ Ἅγιον τοῖς ἀνθρώποις ἐνεφανίσθη, ἐν εἴδει περιστερᾶς καταβαῖνον ἐπ' αὐτόν, ἐκ τότε (ἔκτοτε) ἡ πνευματικὴ λατρεία καὶ πολιτεία καὶ ἡ τῶν οὐρανῶν βασιλεία κεκήρυκται»[2499]. Μέχρι τῆς βαπτίσεως τοῦ Κυρίου ὑπὸ τοῦ Προδρόμου ἐν τῷ Ἰορδάνῃ ἴσχυσεν ἡ τήρησις τοῦ προσκαίρου μέρους τοῦ μωσαϊκοῦ νόμου (ἰ. ἀ. σ. 209).

Ἡ περιτομὴ τοῦ Χριστοῦ ἐγένετο τὴν ὀγδόην ἡμέραν ἀπὸ τῆς ἡμέρας τῆς γεννήσεως καὶ αὐτῆς λογιζομένης. Δηλαδή, «τῇ πρώτῃ τοῦ Ἰανουαρίου μηνὸς» τοῦ ἔτους εφζ' (5507) ἀπὸ κτίσεως, «ἡμέρᾳ» δὲ

2489. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1213.
2490. Ρωμ. β' 29.
2491. Μ. Φωτίου, PG. 101, 693.
2492. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 35, 159.
2493. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1213.
2494. Κυρίλλου Ἀλεξανδρείας κ.ἄ., PG. 77, 1209.
2495. Γρηγορ. Νύσσης, PG. 46, 620.
2496. Γρηγορ. Νύσσης, PG. 44, 1292.
2497. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1213.
2498. Μ. Φωτίου, PG. 101, 693.
2499. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1216.

«δ' (Τετάρτη)» τῆς ἑβδομάδος[2500]. Διότι εἰκοστὴ πέμπτη Δεκεμβρίου μία ἡμέρα, εἰκοστὴ ἕκτη δύο, εἰκοστὴ ἑβδόμη τρεῖς, εἰκοστὴ ὀγδόη τέσσαρες, εἰκοστὴ ἐνάτη πέντε, τριακοστὴ ἕξ, τριακοστὴ πρώτη ἑπτὰ καὶ πρώτη Ἰανουαρίου ὀκτώ. Ταύτην τὴν ἡμέραν τῆς 1ης Ἰανουαρίου ἑορτάζεται ὑπὸ τῆς Ἐκκλησίας «ἡ κατὰ σάρκα περιτομὴ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[2501]. Τὴν Τετάρτην ἡμέραν, καθ' ἣν τοὺς φωστῆρας ἐποίησεν (ἰ. ἀ. σ. 25), ὁ ἥλιος τῆς δικαιοσύνης Χριστός, «νόμον ἐκπληρῶν, περιτομὴν θελήσει» καταδέχεται «σαρκικήν, ὅπως» παύσῃ «τὰ σκιώδη καὶ» περιέλῃ (ἀφαιρέσῃ) «τὸ κάλυμμα τῶν παθῶν ἡμῶν»[2502], πρὸς αἰώνιον φωτισμὸν τῶν ψυχῶν.

2. «Κατὰ τὸν νόμον Μωυσέως»

Μετὰ τὴν περιτομὴν τοῦ Χριστοῦ ἐν τῷ σπηλαίῳ τῆς Βηθλεέμ, ἡ παράστασις αὐτοῦ ἐν τῷ Ναῷ τῆς Ἱερουσαλήμ. Τοῦτο ἐγένετο, «ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν»[2503]. «Καίτοι οὐκ ἀνάγκην εἶχεν ἡ Παρθένος» καθαρισμοῦ, «ἀλλ' ὅμως ὁ νόμος ἐπληροῦτο»[2504].

Ὁ Κύριος «τῆς δόξης»[2505] ὤφθη «εἰς τὸν Ναὸν τοῦ Κυρίου»[2506] «ὡς βρέφος ἀγκαλοφορούμενος»[2507]. Διότι σαρκωθεὶς «ἑαυτὸν ἐκένωσε»[2508] «τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν» χρόνον[2509], «μορφὴν δούλου λαβών»[2508]. «Χωρούμενος γὰρ ὑπὸ τοῦ Πατρὸς καὶ ὢν ἐν τῷ κόλπῳ τοῦ Πατρός, ἐχωρεῖτο ἀρρήτως καὶ ἐν τῇ ἰδίᾳ σαρκί»[2510]. «Καὶ τὸ τῆς κενώσεως μέτρον τετήρηκε πανταχοῦ»[2511]. Διὸ «ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου»[2512]. «Ἀνήγαγον» λοιπὸν ἡ Θεοτόκος καὶ ὁ Ἰωσὴφ τὸν Χριστὸν «εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ» καὶ «δοῦναι θυσίαν», «κατὰ τὸν νόμον Μωυσέως» καὶ «καθὼς γέγραπται ἐν νόμῳ Κυρίου» καὶ «κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου»[2513]. «Ὢ τῆς ἀνεξιχνιάστου περὶ ἡμᾶς τοῦ Λόγου οἰκονομίας καὶ ἀγαθότητος! Ὁ νομοθέτης ὑπὸ νόμον»[2514]. «Ὅτι καὶ νομοθέτης ἦν ὡς Θεὸς καὶ ὑπὸ νόμον ὡς ἄνθρωπος»[2515]. «Ὁ ἐν κόλποις ὢν τοῦ Πατρὸς»

2500. Χρον. Πασχάλ., PG. 92, 497.
2501. Μηναίου τοῦ Ἰανουαρίου.
2502. Ἀπολυτικίου Περιτομῆς τοῦ Κυρίου.
2503. Λουκ. β' 22.
2504. Χρυσοστόμου, PG. 50, 809.
2505. 1 Κορινθ. β' 8.
2506. Λουκ. α' 9.
2507. Ὄρθρου Ὑπαπαντῆς τοῦ Κυρίου.
2508. Φιλιππησ. β' 7.
2509. Γρηγορ. Θεολόγου, PG. 36, 636.
2510. Κυρίλλου Ἀλεξ., Μ. 5, 176.
2511. Κυρίλλου Ἀλεξ., Μ. 4, 877.
2512. Φιλιππησ. β' 8.
2513. Λουκ. β' 22 - 24.
2514. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 36, 235.
2515. Κυρίλλου Ἀλεξ., PG. 72, 501.

Κύριος, ὁ ὑπὸ πάντων προσκυνούμενος «δουλοπρεπῶς» καὶ λατρευόμενος καὶ «δοξαζόμενος», «τῷ ἰδίῳ Γεννήτορι προσφέρει θυσίαν» τύπου καὶ ἀληθείας, ἤγουν ἑαυτοῦ· αὐτὸς γὰρ ἐστιν ἡ ἀλήθεια. Τότε «ἑαυτὸν» «προσκεκόμικεν» (προσέφερεν) ὁ Χριστός, καθ' ἕνα (εἰς ἕνα) καιρὸν ὁμοῦ τοῖς τύποις (μετὰ τῶν τύπων) τὴν ἀλήθειαν, εἰς ὀσμὴν εὐωδίας», ἵνα «δι' ἑαυτοῦ» «ἡμᾶς» «προσαγάγη (προσφέρη) τῷ Θεῷ καὶ Πατρί», καὶ «οὕτω» «λύσῃ» «τὴν ἐφ' ἡμᾶς γενομένην ἀποστροφὴν» τοῦ Θεοῦ «διὰ τὴν ἐν Ἀδὰμ παράβασιν». Τοὺς «τύπους» «τοῦ νόμου» «τετήρηκεν ἡ ἀλήθεια» Χριστός[2516]. Τὶ δὲ προσέφερεν τότε κατὰ νόμον Μωυσέως; «Ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν»[2517]. «Ἡ μὲν τρυγὼν ἔστι (ὑπάρχει) λαλίστατον (πτηνόν) ἐν στρουθίοις· ἡ δὲ περιστερὰ ζῷον ἤπιον καὶ πρᾶον». Ὁ Χριστὸς δὲ «ἐστιν ἡ εὐφωνοτάτη τρυγών, αὐτὸς ἡ ἀκέραιος περιστερά», «πραότητα μὲν τὴν εἰς ἄκρον ἔχων, τρυγόνος δὲ δίκην» λαλήσας «πρὸς ἡμᾶς τὸ θεῖόν τε καὶ εὐαγγελικὸν κήρυγμα, τὸ παντὸς τοῦ κόσμου σωτήριον». Ἐσφάζετο δὲ θυσιαζομένη ἡ «τρυγὼν καὶ περιστερὰ» εἰς τύπον τοῦ «κατὰ σάρκα» θανάτου τοῦ Χριστοῦ, «ὑπὲρ τῆς» τοῦ «κόσμου ζωῆς»[2518].

Ἐν τῷ Ναῷ, ὁ Συμεὼν «ἐδέξατο» τὸν Χριστὸν «εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπεν» ἐν Πνεύματι Ἁγίῳ: «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ Σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ»[2519]. «Σωτήριον» λέγεται «ἡ παρουσία τοῦ Κυρίου»[2520]. Ἡ δὲ «Ἄννα» ἡ «προφῆτις» «καὶ αὕτη, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο (ηὐχαρίστει) τῷ Κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ»[2521]. Οὕτως, «Ἄννα εὐηγγελίζετο, Συμεὼν ἐνηγκαλίζετο, ἐν μικρῷ βρέφει τὸν μέγαν Θεὸν προσκυνοῦντες· οὐ γὰρ τοῦ ὁρωμένου καταφρονοῦντες, ἀλλὰ τῆς θεότητος αὐτοῦ τὴν μεγαλωσύνην δοξολογοῦντες. Ἐφαίνετο γάρ, ὥσπερ φῶς δι' ὑελίνων ὑμένων (περικεκαλυμμάτων), διὰ τοῦ ἀνθρωπίνου σώματος, ἡ θεία δύναμις, διαυγάζουσα (διαλάμπουσα) τοῖς ἔχουσι τοὺς ὀφθαλμοὺς τῆς καρδίας κεκαθαρμένους»[2522]. Φῶς τοῦ κόσμου ὁ Χριστὸς καὶ ὁ Σωτὴρ τῶν ἀνθρώπων. Ἀλλὰ καὶ «σημεῖον ἀντιλεγόμενον». «Τὸ σημεῖον τοῦ Σταυροῦ», «ὅπερ πολλάκις καὶ ὁ οὐρανὸς ἐκήρυξεν»[2523]. Οἱ Ἀπόστολοι καὶ ἡ Ἐκκλησία πάντοτε κηρύττουσι «Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι (εἰδωλολάτραις) δὲ μωρίαν», τοῖς

2516. Κυρίλλου Ἀλεξ., PG. 72, 501.
2517. Λουκ. β' 24.
2518. Κυρίλλου Ἀλεξ., PG. 72, 501.
2519. Λουκ. β' 28 - 32.
2520. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 269.
2521. Λουκ. β' 36, 38.
2522. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 233.
2523. Χρυσοστόμου, PG. 50, 810.

δὲ πιστοῖς «Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»[2524]. Διὸ ὁ προφήτης Συμεὼν εἶπε πρὸς τὴν Θεοτόκον· «ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν»[2525]. «Πτῶσιν μὲν τοῖς ἀπίστοις, ἀνάστασιν δὲ τοῖς πιστεύουσι»[2526]. «Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ρομφαία»[2527], διὰ «τὸν πειρασμὸν» «καὶ αὐτὸ τὸ πάθος» τοῦ σταυρωθέντος Κυρίου[2528]. Μετὰ τὴν Ὑπαπαντὴν τοῦ Κυρίου, ἀπῆλθεν ὁ Συμεὼν εἰς τὸν ᾅδην, «ἥκει (ἔχει ἔλθει), λέγων, ἡ λύτρωσις· ἥκει ὁ ρύστης (ὁ σωτήρ)· ἥκει ἡ ἄφεσις· ἥκει ὁ ἐλευθερωτής»[2529]. Τὸν μωσαϊκὸν νόμον ἐκπροσωπεῖ ὁ Συμεών. Καὶ ὡς οὗτος εἶχεν ἀποκάλυψιν «ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου»[2530], οὕτω καὶ ὁ νόμος ἐκράτησε μέχρι τοῦ Χριστοῦ. Ὁ Χριστὸς τηρήσας τὸν νόμον, ἀπέλυσε τὸ πρόσκαιρον παιδαγωγικὸν μέρος αὐτοῦ καὶ ἀπεκάλυψε τὴν σώζουσαν ἀλήθειαν καὶ Χάριν.

Ἡ προσαγωγὴ τοῦ Χριστοῦ εἰς τὸν Ναὸν ἢ ἡ Ὑπαπαντὴ ἐγένετο τεσσαράκοντα ἡμέρας ἀπὸ τῆς γεννήσεως αὐτοῦ, ἐπειδὴ «ἡ τεσσαρακοστὴ ἦν»[2531] ἡ κατὰ νόμον ἡμέρα «τοῦ καθαρισμοῦ»[2532]. Ἡ δὲ τεσσαρακοστὴ ἡμέρα συμπίπτει πρὸς τὴν δευτέραν Φεβρουαρίου τοῦ ἔτους ͵εφζ' (5507). Διότι ἀπὸ τῆς 25ης Δεκεμβρίου καὶ αὐτῆς ἕως τῆς 2ας Φεβρουαρίου καὶ αὐτῆς ἀριθμοῦνται 40 ἡμέραι. Ἤτοι 7 ἡμέραι τοῦ μηνὸς Δεκεμβρίου, 31 πλὴν 24 ἴσον 7, καὶ 31 ἡμέραι τοῦ μηνὸς Ἰανουαρίου καὶ 2 τοῦ Φεβρουαρίου ἴσον 40 ἡμέραι. Διὸ τὴν 2αν Φεβρουαρίου ἑορτάζεται ὑπὸ τῆς Ἐκκλησίας «ἡ Ὑπαπαντὴ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[2533]. «Ἔφθασε» δὲ ἡ 2α Φεβρουαρίου τοῦ ἔτους 5507 τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, ἤτοι «ἐν Κυριακῇ». Δηλαδή, καθ' ἣν ἡμέραν ὁ Θεὸς ἐδημιούργησεν ἐκ τοῦ μὴ ὄντος τὸν οὐρανὸν καὶ τὴν γῆν (ἰ. ἀ. σ. 17) καὶ καθ' ἣν ἡμέραν κατόπιν, διὰ τῆς ἀναστάσεως αὐτοῦ, ἀνεδημιούργησε τὸν πεπτωκότα καὶ θανόντα ἄνθρωπον[2534] (ἰ. ἀ. σ. 60). Ὁ Χριστὸς προσήχθη καὶ ἀνεφέρθη κατὰ νόμον Μωυσέως εἰς τὸν Ναὸν τῆς Παλαιᾶς, ἵνα «ἐξαγοράσῃ» τὸν ἄνθρωπον ἐκ «τῆς τοῦ νόμου δουλείας»[2535] καὶ καθαρίσῃ τοῦτον «ἀπὸ πάσης ἁμαρτίας»[2536], διὰ τῆς ἀληθινῆς θυσίας τῆς Καινῆς.

2524. 1 Κορινθ. α' 23 - 24.
2525. Λουκ. β' 34.
2526. Γρηγορ. Θεολόγου, ΒΕΠΕΣ, 59, 108.
2527. Λουκ. β' 35.
2528. Κυρίλλου Ἀλεξ., PG. 72, 505. Χρυσοστόμου, PG. 50, 811.
2529. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 36, 241.
2530. Λουκ. β' 26.
2531. Κυρίλλου Ἀλεξ., PG. 72, 500.
2532. Λουκ. β' 22.
2533. Μηναίου τοῦ Φεβρουαρίου.
2534. Χρον. Πασχάλ., PG. 92, 501.
2535. Ἱππολύτου, ΒΕΠΕΣ, 6, 195.
2536. 1 Ἰωάν. α' 7.

3. «Ἦν ὑποτασσόμενος αὐτοῖς»

Μετὰ τὴν Ὑπαπαντήν, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, βασταζόμενος «ὑπὸ τῆς ἰδίας Μητρός», μετεφέρθη «εἰς Ναζαρέτ». «Τῷ ἑξῆς ἐνιαυτῷ» ἦλθεν «εἰς Ἱερουσαλὴμ» καὶ ἀκολούθως ἐγένετο «ἐν Βηθλεὲμ διὰ τὴν συγγένειαν». Ἐν συνεχείᾳ μετεφέρθη «πάλιν εἰς Ναζαρέτ»[2537]. «Καί, τοῦ δευτέρου» ἔτους «πληρωθέντος»[2538], ἦλθεν ἐπίσης «εἰς τὰ Ἱεροσόλυμα καὶ» τὴν «Βηθλεέμ», ἔνθα προσεκυνήθη ὑπὸ τῶν μάγων[2539].

Διότι τοῦ «Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ»[2540]. Ὁ ἀστὴρ οὗτος «οὐ τῶν ἐν ἀρχῇ γενομένων (δημιουργηθέντων) ἄστρων ἦν»[2541]. Ἐκ τῶν δημιουργηθέντων ἀστέρων, οἱ μὲν «ἀκίνητοι» «οὐδέποτε κινοῦνται, οἱ δὲ πλανῆται οὐδέποτε ἵστανται»[2542] (ἰ. ἀ. σ. 27). Οὗτος ὅμως ὁ ἀστὴρ ἀμφότερα ταῦτα εἶχε «καὶ κίνησιν καὶ στάσιν»[2542], καθ' ὅτι καὶ «ἀκίνητος ἦν ὁ ἀστὴρ καὶ ἑστηκώς»[2543]. «Οὐ τῶν πολλῶν εἷς ὁ ἀστὴρ οὗτος ἦν, μᾶλλον δὲ οὐδὲ ἀστήρ», «ἀλλὰ δύναμίς τις ἀόρατος εἰς ταύτην μετασχηματισθεῖσα τὴν ὄψιν»[2544], δηλαδὴ ἄγγελος Κυρίου. Ὁ «ἀστὴρ ἐν οὐρανῷ ἔλαμψεν ὑπὲρ πάντας τοὺς ἀστέρας καὶ τὸ φῶς αὐτοῦ ἀνεκλάλητον ἦν». «Πάντα» τὰ «λοιπὰ» «ἄστρα» μετὰ τοῦ ἡλίου καὶ τῆς σελήνης ἐφαίνοντο ὡς γενόμενα «χορὸς» εἰς τὸν ἀστέρα, «αὐτὸς» δὲ ὑπερέβαλλεν ὡς πρὸς «τὸ φῶς αὐτοῦ ὑπὲρ πάντα». «Καὶ ξενισμὸν παρεῖχεν ἡ καινότης αὐτοῦ» καὶ «ταραχὴ» τότε «ἦν» μεταξὺ τῶν ἀνθρώπων, «πόθεν» «ἡ ἀνόμοιος» αὐτὴ «καινότης» εἰς τοὺς ἀστέρας[2545]. Ἦτο δὲ ὁ ἀστὴρ οὗτος σημεῖον τῆς ἐπὶ γῆς παρουσίας τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ἥτις προεφητεύθη καὶ δι' αὐτοῦ ἀκόμη τοῦ μάντεως Βαλαάμ[2546]. Διότι προεῖπεν οὗτος, ὃ νῦν ἐγένετο, ἤτοι ὅτι «ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ»[2547]. Καὶ φωστῆρες τοῦ οὐρανοῦ καὶ οὐράνια σημεῖα παραλαμβάνονται εἰς δήλωσιν τῆς σωτηριώδους σαρκώσεως τοῦ Θεοῦ Λόγου, ὡς ὡρίσθη ἐν τῇ δημιουργίᾳ (ἰ. ἀ. σ. 25, 34).

2537. Ἐπιφανίου Κύπρου, PG. 41, 273 - 276.
2538. Ἐπιφανίου Κύπρου, PG. 41, 905.
2539. Ἐπιφανίου Κύπρου, PG. 41, 276.
2540. Ματθ. β' 1 - 2.
2541. Ἰ. Δαμασκηνοῦ, PG. 94, 896.
2542. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 231.
2543. Κυρίλλου Ἀλεξ., PG. 72, 368.
2544. Χρυσοστόμου, PG. 57, 64.
2545. Ἰγνατίου Θεοφόρου, ΒΕΠΕΣ, 2, 268.
2546. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 231.
2547. Ἀριθμ. κδ' 17.

Ἐκ Περσίας ἦλθον οἱ μάγοι[2548]. «Ἔθνος Περσικὸν οἱ μάγοι», «τὸ ἀπηλλοτριωμένον τοῦ Θεοῦ καὶ ξένον τῶν διαθηκῶν ἔθνος»[2549]. Οὗτοι, οἱ «τῆς τῶν Πατέρων εὐλογίας ἀλλότριοι»[2550], «πρῶτοι τῆς προσκυνήσεως ἠξιώθησαν»[2551]. Κατόπιν συμβουλῆς τοῦ Ἡρώδου, «ἐπορεύθησαν» ἀπὸ Ἱερουσαλὴμ εἰς Βηθλεέμ. «Καὶ ἰδοὺ ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν (προεπορεύετο καὶ ὡδήγει) αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον· ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ Παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν (προσέφεραν) αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν»[2552]. Ὡς «μὲν βασιλεῖ τὸν χρυσόν», «ὡς δὲ Θεῷ τὸν λίβανον», «ὡς δὲ τεθνηξομένῳ (μέλλοντα ἵνα ἀποθάνῃ ἐν τῷ Σταυρῷ διὰ τὴν σωτηρίαν τοῦ κόσμου) τὴν σμύρναν»[2553]. Ἐν τῷ προσώπῳ τῶν μάγων Πέρσαι προσκυνοῦσιν, καὶ διὰ τῶν Περσῶν καὶ τὰ λοιπὰ ἔθνη τῆς ἀνατολῆς. Εἰς τοὺς τόπους ἐκείνους οἱ βασιλεῖς τῶν Περσῶν εἶχον τότε τὰ πρεσβεῖα, ἡ δὲ τῶν Βαβυλωνίων καὶ «τῶν Ἀσσυρίων ἀρχὴ εἰς Πέρσας μετέπεσε». Διὸ ἐν τῷ προσώπῳ τοῦ ἔθνους τῶν Περσῶν νοοῦνται καὶ τὰ λοιπὰ ὑπ' αὐτοὺς ἔθνη[2554]. «Ἀπὸ ἀνατολῶν» ἦλθον οἱ προσκυνήσαντες μάγοι, διότι «κατὰ ἀνατολὰς»[2555] ἔπεσεν ὁ Ἀδάμ (ἰ. ἀ. σ. 51, 58), «ἐκ γῆς Χαλδαίων»[2556] ἐξῆλθεν ὁ κληθεὶς Ἀβραάμ, καὶ οἱ ἀνατολικοὶ λαοὶ ἠσέβησαν πρὸς τὰ ἱερὰ τοῦ Θεοῦ. «Οἱ Ἀσσυρίων βασιλεῖς τὴν» «Ἱερουσαλὴμ πολλάκις ἐπόρθησαν», «τὰ ἐν τῷ θείῳ Νεῷ (Ναῷ) κειμήλια ἀπεσύλησαν (ἥρπασαν)» «καὶ αὐτὸν» «τὸν Ναὸν» κατέκαυσαν (ἰ. ἀ. σ. 188). Διὸ οἱ ἀπόγονοι τούτων μάγοι «προσφέρουσιν, ἀντὶ» «τῆς παρὰ τῶν πατέρων αὐτῶν γεγενημένης εἰς τὰ ἱερὰ τοῦ Θεοῦ ἀτιμίας, τιμήν, ἀντὶ» «τῶν δυσφημιῶν, θεολογίαν», «ἀντὶ τῆς ἄλλης παροινίας (ἄφρονος ἁμαρτίας)», «προσκύνησιν» καί, «ἀντὶ τῶν συλαγωγηθέντων (διαρπαγέντων) δῶρα». Ὡς οἱ μάγοι πρῶτοι προσεκύνησαν, οὕτω καὶ «πρῶτον οἱ ἐξ ἐθνῶν»[2557] ἄνθρωποι ἐπίστευσαν, οἱ δὲ Ἰουδαῖοι ἠπίστησαν[2558]. Διὸ «ἐκεῖνοι, εὑρόντες τὸν ζητούμενον, χαίρουσιν. Οὗτοι, ἐπὶ τῇ γεννήσει τοῦ μηνυθέντος, ταράττονται». «Ἐκεῖνοι προσκυνοῦσιν, οὗτοι διώκουσιν»[2559].

2548. Μ. Φωτίου, PG. 101, 1148.
2549. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 231.
2550. Γρηγορ. Νύσσης, PG. 46, 1144.
2551. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 231.
2552. Ματθ. β' 9 - 11.
2553. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 232. Γρηγορίου Νύσσης, PG. 46, 1144. Μ. Φωτίου, PG. 101, 1152.
2554. Μ. Φωτίου, PG. 101, 1148, 1149.
2555. Γενέσ. β' 8.
2556. Πράξ. Ἀποστ. ζ' 4.
2557. Μ. Φωτίου, PG. 101, 1149.
2558. Μ. Βασιλείου, ΒΕΠΕΣ, 54, 231.
2559. Γρηγορ. Νύσσης, PG. 46, 1144.

Οἱ προσκυνηταὶ μάγοι, «χρηματισθέντες (ὁδηγηθέντες) κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν». Ὁ δὲ Ἰωσήφ, ὁδηγηθεὶς καὶ οὗτος «κατ' ὄναρ» δι' ἀγγέλου, «παρέλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον», διὰ τὴν κακουργίαν τοῦ Ἡρώδου[2560]. Διότι ὁ «Ἡρώδης», ἐπιζητῶν τὸν φόνον τοῦ Χριστοῦ, «ἀποστείλας ἀνεῖλε (ἐφόνευσε) πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω»[2561]. Ἐντὸς τοῦ τρίτου ἔτους τοῦ Σωτῆρος ἤρχισεν ὁ φονικὸς διωγμὸς τούτου παρὰ τῶν ἀπειθούντων Ἰουδαίων, ὡς ἐντὸς τοῦ τρίτου αἰῶνος ἐδιώχθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν Αἰγύπτῳ (ἰ. ἀ. σ. 75, 129). Τοιουτοτρόπως πληροῦνται οἱ τύποι τῆς Παλαιᾶς. Ἡ Ἰουδαία γῆ ἀποδεικνύεται νέα διῶκτις Αἴγυπτος, ὁ Ἡρώδης ἄλλος φονεὺς Φαραώ, οἱ ἀπειθοῦντες Ἰουδαῖοι ἄλλοι ἀνομοῦντες Αἰγύπτιοι, ὁ δὲ Χριστὸς πληροῖ τὸν τύπον τοῦ διωκομένου Ἰσραηλιτικοῦ λαοῦ (ἰ. ἀ. σ. 119). Ὡς οἱ υἱοὶ Ἰσραὴλ ἐξῆλθον ἐξ Αἰγύπτου, Φαραὼ καὶ τῶν δυνάμεων αὐτοῦ ἀποπνιγέντων (ἰ. ἀ. σ. 139), οὕτω καὶ ὁ Χριστὸς ἐξῆλθε πάλιν ἐξ Αἰγύπτου καὶ ἐπέστρεψεν «εἰς γῆν Ἰσραήλ», ὅτε «τεθνήκασιν» «οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ Παιδίου»[2562]. Καὶ ἐπληρώθη «τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου»[2563]. Νῦν ἐξ Αἰγύπτου τοῦ πάλαι Φαραώ. Ἐν τῇ Ἀναλήψει, ἐξ Αἰγύπτου τοῦ Ἡρώδου καὶ τῶν χριστοκτόνων Ἰουδαίων. Ἀργότερον, μετὰ τὴν ἐν Χριστῷ ἀνακαίνισιν τῆς παλαιᾶς Αἰγύπτου, ἐξ αὐτῆς πάλιν ἐκλήθη ὁ λόγος τῆς Ὀρθοδοξίας, περὶ τῆς Ἁγίας Τριάδος καὶ τοῦ ἑορτασμοῦ τοῦ Πάσχα. «Ἀπ' Αἰγύπτου χορηγούμενος» οὗτος, εἰς πάντας ἐδόθη τοὺς Ὀρθοδόξους διὰ τῶν Οἰκουμενικῶν Συνόδων, ὡς «καινὴ τροφὴ τῶν καλῶς πεινώντων»[2564]. Καταβὰς εἰς τὴν ἐσκοτισμένην χώραν τοῦ Φαραὼ ὁ Χριστός, ἔλαμψεν «ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας» καὶ ἐδίωξε «τοῦ ψεύδους τὸ σκότος». «Τὰ γὰρ εἴδωλα ταύτης», «μὴ ἐνέγκαντα (μὴ δυνάμενα ἵνα ὑποφέρωσι)» «τὴν ἰσχὺν» αὐτοῦ, «πέπτωκεν»[2565]. Εἰς μὲν τὴν ἀνατολὴν «τοὺς μάγους ἀπέστειλεν» ὁ σαρκωθεὶς Θεὸς Λόγος, εἰς δὲ τὴν Αἴγυπτον «αὐτὸς ἐπέβη μετὰ τῆς Μητρός»[2566]. «Ἐπειδὴ» «Βαβυλὼν καὶ Αἴγυπτος μάλιστα τῆς γῆς ἁπάσης τῇ φλογὶ τῆς ἀσεβείας ἦσαν ἐκκεκαυμέναι, ἐκ προοιμίων» δεικνύει ὁ Κύριος, «ὅτι ἀμφοτέρας διορθώσεται καὶ βελτίους ποιήσει», ὡς καὶ ὅλην τὴν δι' αὐτῶν προτυπουμένην οἰκουμένην. Διότι ὡς ἡ Ἱερουσαλὴμ

2560. Ματθ. β' 12 - 14.
2561. Ματθ. β' 16.
2562. Ματθ. β' 20 - 21.
2563. Ματθ. β' 15. Ὡσ. ια' 1.
2564. Γρηγορ. Θεολόγου, PG. 36, 241.
2565. Ἀκαθίστου Ὕμνου.
2566. Χρυσοστόμου, PG. 57, 84.

καλεῖται «πνευματικῶς» «Αἴγυπτος»[2567], «οὕτω καὶ ἡ Ρώμη ὀνομάζεται «Βαβυλών»[2568] (ἰ. ἀ. σ. 218). Διὰ τῆς προσκυνήσεως τῶν μάγων καὶ τῆς καταβάσεώς του εἰς Αἴγυπτον, ὁ Χριστὸς πάντα τὰ ἔθνη φέρει εἰς προσκύνησιν ἑαυτοῦ, πρὸς σωτηρίαν δυνάμει τοῦ πάθους τοῦ Σταυροῦ. Τοῦτο γὰρ δηλοῖ καὶ τὸ χυθὲν ἀθῷον αἷμα τῶν νηπίων τῆς Βηθλεέμ.

Κατὰ τὴν ἐπάνοδον ἐξ Αἰγύπτου, ὁ Ἰωσήφ, «ἀκούσας» «ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας, ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν». «Χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ»[2569]. Οὕτως ἐπληρώθη ὁ τύπος τῆς φυγῆς τοῦ Μωυσέως. Διότι, ὡς Μωυσῆς μετῴκησεν εἰς Μαδιάμ[2570], οὕτω «καὶ ὁ Χριστὸς ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν»[2571] (ἰ. ἀ. σ. 117). Τότε ἐπληρώθη καὶ «τὸ ρηθὲν διὰ τῶν Προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται» ὁ Χριστός[2572]. «Καὶ ποῖος προφήτης τοῦτο εἶπε; Μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει. Πολλὰ γὰρ τῶν προφητικῶν ἠφάνισται βιβλίων». Ἀλλὰ καὶ τῶν σωζομένων τοῦτο τὸ πνεῦμά ἐστιν[2573]. «Ἐν τοῖς ἐσχάτοις τῆς Ἰουδαίας ἔκειτο ἡ Ναζαρέτ. Καταλιπὼν δὲ ὁ Χριστὸς τὴν Ἰουδαίαν καὶ ἀπελθὼν εἰς Ναζαρέτ», «ἐδήλωσεν» οὕτως, ὅτι «Ἰουδαίους καταλείψει καὶ ἐπὶ τὰ ἔθνη μεταβιβάσει τὸ σέβας»[2574]. Μυστήριον ἡ κένωσις τοῦ σαρκωθέντος Θεοῦ Λόγου. Ἐκ τῆς ταπεινώσεως τῆς φάτνης καὶ τοῦ σπηλαίου, εἰς τὴν δόξαν τῆς Ὑπαπαντῆς ἐν τῷ Ναῷ καὶ τῆς προσκυνήσεως τῶν μάγων ἐν Βηθλεέμ. Καὶ ἐκ τούτων πάλιν εἰς τὴν ταπείνωσιν τῆς φυγῆς εἰς Αἴγυπτον καὶ τῆς καταφυγῆς εἰς Ναζαρέτ. Ἐναλλάσσονται ταπείνωσις καὶ δόξα, ἵνα καὶ ἄνθρωπος ἀποδειχθῇ καὶ Θεὸς πιστευθῇ ὁ Χριστός, πρὸς σωτηρίαν. Ἐκ Ναζαρὲτ «πάλιν κατ' ἔτος ἀνήει (ἀνήρχετο) εἰς Ἱερουσαλὴμ»[2575] ὁ Χριστὸς διὰ τῆς Θεοτόκου καὶ τοῦ Ἰωσήφ, πρὸς τέλεσιν τοῦ Πάσχα. Διότι «πάντα τὰ νομικὰ ἐπλήρωσεν» ὁ Χριστός[2576].

«Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα, κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ»[2577]. Καὶ ὅτε μετὰ μίαν ἡμέραν ἐπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀναζητοῦντες αὐτόν, «μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ Ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ

2567. Ἀποκαλύψ. ια' 8.
2568. Ἀποκαλύψ. ιζ' 5. Ἀνδρέου Καισαρείας, PG. 106, 373.
2569. Ματθ. β' 22 - 23.
2570. Ἐξόδ. β' 15.
2571. Κυρίλλου Ἀλεξ., PG. 69, 405.
2572. Ματθ. β' 23.
2573. Χρυσοστόμου, PG. 57, 180 - 181.
2574. Κυρίλλου Ἀλεξ., PG. 72, 368.
2575. Ἐπιφανίου Κύπρου, PG. 41, 905.
2576. Χρυσοστόμου, PG. 49, 378.
2577. Λουκ. β' 42 - 43.

ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ»[2578]. Καὶ ὅτε ἡ Θεοτόκος εἶπε πρὸς αὐτὸν λόγον, ὁ Χριστὸς ἀπεκρίθη: «τὶ ὅτι ἐζητεῖτέ με; Οὐκ ᾔδειτε (δὲν ἐγνωρίζετε) ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με;»[2579]. «Ἐνταῦθα» ὁ Χριστὸς «πρώτως τοῦ ἀληθῶς Πατρὸς φανερώτερον μνημονεύει καὶ παραγυμνοῖ (ἀποκαλύπτει) τὴν ἑαυτοῦ θεότητα»[2580]. «Καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς». «Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις»[2581]. Ἦτο δὲ «πλήρης Χάριτος καὶ ἀληθείας»[2582]. Μετὰ τὸ θαῦμα τῆς παρουσίας τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ ὡς παιδὸς ἐν τῷ οἴκῳ «τοῦ Πατρός», πάλιν ἡ κένωσις τῆς δόξης αὐτοῦ καὶ ἡ ταπείνωσις τῆς ὑπακοῆς. «Διὰ δὲ ταύτην τὴν ἐνανθρώπησιν καὶ τῇ Μαρίᾳ καὶ τῷ Ἰωσὴφ ὑπετάσσετο» ὁ σαρκωθεὶς Θεὸς Λόγος[2583]. Μέγα τὸ μυστήριον τῆς ἐν σαρκὶ ὑποταγῆς τοῦ Κυρίου τῶν ὅλων καὶ Δημιουργοῦ τῶν πάντων Θεοῦ Λόγου. Ὁ Χριστὸς ὑπετάγη εἰς τὸν Μωυσέα, εἰς τὴν Θεοτόκον καὶ εἰς τὸν Ἰωσήφ. Προσέτι δὲ ἐτήρησε καὶ νόμον πολιτείας, φύσεως καὶ χρόνου.

Τύπος τοῦ νόμου ὑπῆρξεν ὁ Μωυσῆς. Τύπος δὲ τοῦ Χριστοῦ ὁ Ἰησοῦς τοῦ Ναυῆ. Ὡς Ἰησοῦς τοῦ Ναυῆ ὑπήκουσεν εἰς τὸν Μωυσέα, οὕτω καὶ ὁ Ἰησοῦς Χριστὸς ὑπετάγη πάλιν εἰς τὸν Μωυσέα, τηρήσας πάσας τὰς ἐντολὰς τοῦ μωσαϊκοῦ νόμου, τὰς ὁποίας αὐτὸς ὁ Θεὸς Λόγος ἔδωκεν (ἰ. ἀ. σ. 146). Καὶ ἐγένετο ὁ Κύριος τοῦ νόμου ὑπὸ τὸν ἑαυτοῦ νόμον ἐν σαρκί. Ὁ Θεὸς νομοθέτης καὶ ἐπλήρωσε τελείως τὸν ἑαυτοῦ νόμον ἐναθρωπήσας. Ὁ Χριστὸς «ἦν ὑποτασσόμενος» εἰς τὴν Θεοτόκον μέχρι τῆς βαπτίσεως αὐτοῦ παρὰ τοῦ Προδρόμου καὶ εἰς τὸν Ἰωσὴφ μέχρι τοῦ θανάτου τοῦ δικαίου τούτου. Μετὰ τὸ δωδέκατον ἔτος τοῦ Κυρίου «τελευτᾷ Ἰωσὴφ» εἰς ἡλικίαν ἐνενήκοντα δύο περίπου ἐτῶν[2584], ἤτοι πλήρης ἡμερῶν, ὡς δηλοῖ καὶ τὸ ὄνομα αὐτοῦ. Διότι «Ἰωσὴφ ἑρμηνεύεται προσθήκη καὶ αὔξησις Θεοῦ»[2585] (ἰ. ἀ. σ. 107). Καὶ «ἀνετράφη» κατόπιν ὁ Ἰησοῦς Χριστὸς «οὐκέτι ὑπὸ τὸν Ἰωσήφ, ἀλλ' εἰς τὸν οἶκον τοῦ Ἰωσήφ»[2586] ὑπὸ τὴν Θεοτόκον. Οὕτως ὁ σαρκωθεὶς Λόγος, ὁ ἀμήτωρ ὡς Θεὸς καὶ ἀπάτωρ ὡς ἄνθρωπος, ὑποτάσσεται ἐν σαρκὶ καὶ εἰς τὸν ἐν οὐρανοῖς Θεὸν Πατέρα καὶ εἰς τὴν ἐπὶ γῆς ἄνθρωπον Μητέρα. Ὡς Θεὸς Λόγος ὁ Χριστός, «οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος», ἀλλὰ Θεὸς Κύριος Παντοκράτωρ μετὰ Πατρὸς καὶ

2578. Λουκ. β' 46 - 47.
2579. Λουκ. β' 49.
2580. Κυρίλλου Ἀλεξ., PG. 72, 509.
2581. Λουκ. β' 51 - 52.
2582. Ἰωάν. α' 14.
2583. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 36, 71.
2584. Ἐπιφανίου Κύπρου, PG. 42, 713.
2585. Κυρίλλου Ἀλεξ., PG. 69, 296.
2586. Ἐπιφανίου Κύπρου, PG. 42, 713.

Πνεύματος. «Τοῦτο» δὲ ἐστιν «ἡ ὑποταγὴ Χριστοῦ», «ἡ τοῦ πατρικοῦ θελήματος πλήρωσις»[2587]. «Πράττεται γὰρ πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι»[2588] Ἁγίῳ (ἰ. ἀ. σ. 7, 9).

Καὶ πολιτικὸν νόμον ἐτήρησεν ὁ Χριστός, τὸν μὴ προσκρούοντα εἰς Θεόν. Διὸ καὶ ἔδωκε τὸν ἀπαιτούμενον φόρον, «ὅτε γέγονεν ὑπὸ νόμον»[2589]. Ὅταν «οἱ τὰ δίδραχμα λαμβάνοντες» εἶπον «τῷ Πέτρῳ»· «ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα;», ὁ μαθητὴς «λέγει, ναί»[2590]. Ὁ Χριστὸς «συνετέλεσε (ἐπλήρωσε) τοῖς δασμολογοῦσι τὸ δίδραχμον καίτοι συντελέσαι (ἵνα καταβάλῃ αὐτό) μὴ ὀφείλων, διά γε τὸ εἶναι κατὰ ἀλήθειαν Υἱὸς» τοῦ Θεοῦ. «Ἔδει (ἔπρεπε) γάρ, ἔδει πληροῦν (ἵνα πληρώσῃ) τὴν οἰκονομίαν», ἤτοι τὴν ἐνανθρώπησιν, «ἣν κατεδέξατο δι' ἡμᾶς»[2591]. Διό, ὅτε ὁ Πέτρος «εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· τί σοι δοκεῖ, Σίμων; Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; Ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; Λέγει αὐτῷ ὁ Πέτρος· ἀπὸ τῶν ἀλλοτρίων. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί. Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς»[2592], δὸς τὸ ἀπαιτούμενον. Ὁ Χριστὸς συγκαταβαίνων, «οὔτε παραιτεῖται τὸν φόρον, οὔτε ἁπλῶς κελεύει δοῦναι (αὐτόν), ἀλλά, πρότερον δείξας οὐκ ὄντα ὑπεύθυνον (φόρου), τότε δίδωσι»[2593]. Δίδει δὲ τοῦτον διὰ θαύματος, μαρτυροῦντος ὅτι δὲν εἶναι ἁπλοῦς φορολογούμενος, ἀλλ' ὁ συγκαταβατικῶς ἐνανθρωπήσας Θεός, πρὸς σωτηρίαν πάντων ἀνθρώπων. Διὸ λέγει πρὸς τὸν Ἀπόστολον· «πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον καί, ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ»[2594]. Ἀλλαχοῦ δὲ εἶπεν ὁ Κύριος· «ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ»[2595]. Καὶ διὰ τοῦ Ἀποστόλου· «ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόβον τὸν φόβον, τῷ τὴν τιμὴν τὴν τιμήν»[2596], ἀλλ' ἐν Κυρίῳ. Διότι πρέπει «καὶ ἀνθρώποις τὰ αὐτῶν (τὰ ἀνήκοντα εἰς αὐτούς) πληροῦν καὶ Θεῷ διδόναι τὰ τῷ Θεῷ παρ' ἡμῶν ὀφειλόμενα». «Ἀπόδος τὰ τοῦ Καίσαρος» «ἐκεῖνα» «μόνον, τὰ μηδὲν τὴν εὐσέβειαν παραβλάπτοντα». Ὅτε δὲ παραβλάπτεται ἡ εὐσέβεια, «οὐκέτι Καίσαρος, ἀλλὰ τοῦ Διαβόλου φόρος ἐστὶ καὶ τέλος τὸ τοιοῦτον»[2597].

Καὶ τὸν νόμον τῆς ὑπ' αὐτοῦ κτισθείσης φύσεως ἠκολούθησεν ὁ

2587. Γρηγορ. Θεολόγου, PG. 36, 109.
2588. Κυρίλλου Ἀλεξ., Μ. 4, 869.
2589. Κυρίλλου Ἀλεξ., PG. 72, 504.
2590. Ματθ. ιζ' 24 - 25.
2591. Κυρίλλου Ἀλεξ., PG. 72, 504.
2592. Ματθ. ιζ' 25 - 27.
2593. Χρυσοστόμου, PG. 58, 567.
2594. Ματθ. ιζ' 27.
2595. Ματθ. κβ' 21.
2596. Ρωμ. ιγ' 7.
2597. Χρυσοστόμου, PG. 58, 656.

Χριστός, ἀλλ' ὡς ὁ ἐνανθρωπήσας Θεός[2597α]. Συλλαμβάνεται ἐν γαστρί, ἀλλὰ τῆς Παρθένου, ὡς «δεύτερος Ἀδὰμ» καὶ «ἡ πάντων» τῶν σωζομένων «ἀπαρχή»[2598]. Κυοφορεῖται καὶ τίκτεται ἐν Βηθλεέμ, ἀλλ' ἐκ τῆς Θεοτόκου, καὶ δοξολογεῖται ὑπὸ τῶν ἀγγέλων ὡς Θεὸς ἐν ἀνθρώποις. Ὤφθη ἐν τῷ Ναῷ Κυρίου ὡς βρέφος ἀγκαλοφορούμενος, ἀλλὰ ὁμολογεῖται ὅτι εἶναι «τὸ Σωτήριον» τοῦ Θεοῦ[2599]. Παρίσταται εἰς τὸν Ναὸν δωδεκαετής, ἀλλὰ ἐξιστᾷ (ἐκπλήσσει) πάντας καὶ ἀποκαλύπτει, ὅτι εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ[2600]. Προκόπτει «καὶ ἡλικίᾳ», ἀλλὰ εἰς τὰ τριάκοντα ἔτη, κατὰ τὸ βάπτισμα, ὁμολογεῖται παρὰ τοῦ Πατρός, δεικνύεται ὑπὸ τοῦ Ἁγίου Πνεύματος καὶ κηρύσσεται διὰ τοῦ Προδρόμου, ὅτι εἶναι ὁ «ἀγαπητὸς» «Υἱὸς» τοῦ Θεοῦ Πατρὸς καὶ ὁ Σωτὴρ τῶν ἀνθρώπων[2601]. Ὁ Χριστὸς μέχρις ἡλικίας τριάκοντα ἐτῶν ἐπλήρωσε πᾶσαν δικαιοσύνην καὶ μετὰ τὸ βάπτισμα ἔλυσε τὸν νόμον Μωυσέως. Ἐπλήρωσε δὲ τὸν νόμον «μέχρι ταύτης τῆς ἡλικίας, τῆς πάντα δεχομένης τὰ ἁμαρτήματα». Διότι δὲν ἐπιτίθενται καθ' ἡμῶν «ἀεὶ πάντα» «τὰ πάθη». Ἀλλὰ «ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ πολὺ τὸ ἀνόητον καὶ μικρόψυχον» ὑπάρχει, «ἐν δὲ τῇ μετ' ἐκείνην σφοδροτέρα ἡ ἡδονή, καὶ μετὰ ταύτην πάλιν ἡ τῶν χρημάτων ἐπιθυμία». «Διὰ τοῦτο, πᾶσαν τὴν ἡλικίαν ἀναμείνας» ὁ Χριστὸς «καὶ διὰ πάσης» ἡλικίας «πληρώσας» τὸν μωσαϊκὸν νόμον, «οὕτως ἐπὶ τὸ βάπτισμα ἔρχεται»[2602]. Ὁ ἐνανθρωπήσας Θεὸς Λόγος ὁ ἅγιος «προέκοπτεν» ἐν σαρκὶ «ἡλικίᾳ», «ἵνα πᾶσαν ἡλικίαν εὐλογήσῃ»[2603] τοῦ πεπτωκότος καὶ ἀνορθουμένου παρ' αὐτοῦ ἀνθρώπου.

Μετὰ τοῦ νόμου τῆς φύσεως καὶ τὸν χρόνον ἐτήρησε συγκαταβατικῶς ὁ Χριστός. Σαρκοῦται, «ὅτε» «ἦλθε τὸ πλήρωμα τοῦ χρόνου»[2604]. Κυοφορεῖται ἐπὶ ἐννεάμηνον. Τίκτεται, ὅτε «ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν», ἤγουν τὴν Θεοτόκον[2605]. Περιετμήθη, «ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ» ἀπὸ τῆς γεννήσεως[2606]. Ὤφθη ἐν τῷ Ναῷ ὡς βρέφος, «ὅτε ἐπλήσθησαν» αἱ τεσσαράκοντα «ἡμέραι τοῦ καθαρισμοῦ»[2607], καὶ ἐβαπτίσθη εἰς τὸν ἁρμόδιον χρόνον. Καί, ὅτε ἤρχισε τὸ κήρυγμα, ἐτέλεσε τὸ ἔργον τῆς σωτηρίας τοῦ κόσμου ἐν χρόνῳ. Διὸ ἔλεγεν ὅτι «πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ»[2608]. Καὶ ἀλλαχοῦ, «ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστι»[2609] καὶ «ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται»[2610]. Καὶ ἀλλαχοῦ, «εἴπατε αὐτῷ· ὁ Διδάσκα-

2597α. Γρηγορ. Νύσσης, PG. 45, 1164.
2598. Κυρίλλου Ἀλεξ., PG. 72, 485.
2599. Λουκ. β' 30.
2600. Κυρίλλου Ἀλεξ., PG. 72, 509.
2601. Ματθ. γ' 16 - 17.
2602. Χρυσοστόμου, PG. 57, 185.
2603. Μακαρίου Ἱεροσολ., Μ. 2, 873.
2604. Γαλάτ. δ' 4.
2605. Λουκ. β' 6.
2606. Λουκ. β' 21.
2607. Λουκ. β' 22.
2608. Μάρκ. α' 15.
2609. Ἰωάν. ζ' 6.
2610. Ἰωάν. ζ' 8.

λος λέγει, ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ Πάσχα»[2611]. Βουληθεὶς ὁ Θεὸς ἵνα σώσῃ τὸν ἄνθρωπον, «καιρὸν τῆς βοηθείας καὶ τρόπον ἐπινοεῖ. Καιρὸν μέν, ἵν' εὐκαίρως ἐπιστῇ (ἔλθῃ) πρὸς τὴν ἴασιν» τοῦ πεπτωκότος, «τρόπον δέ, ἵνα κατάλληλος αὐτὸς (ὁ ἄνθρωπος) πρὸς τὴν ἐκκαθάρσεως ἀποκατάστασιν γένηται»[2612]. Καὶ τὸ δημιούργημα αὐτοῦ χρόνον παραλαμβάνει ὁ Χριστὸς εἰς τὸ ἔργον τῆς σωτηρίας τοῦ κόσμου. Τηρεῖ δὲ τὸν χρόνον, οὐχὶ δουλικῶς, ἀλλ' ὡς ὁ σαρκωθεὶς Κύριος καὶ δημιουργὸς τοῦ χρόνου καὶ Παντοκράτωρ (ἰ. ἀ. σ. 11 - 12). Συμφώνως πρὸς τὴν δημιουργίαν τοῦ Θεοῦ, διὰ τὰ ἀνθρώπινα «καιρὸς οὐχ ἅπας» «ἐπιτήδειός»[2613] ἐστιν, ἀλλὰ «τοῖς πᾶσι χρόνος καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν»[2614].

«Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι». «Ταῦτα κατὰ τὸ ἀνθρώπινον» ἐλέχθησαν[2615]. Ὁ Χριστός, κατ' ἄνθρωπον, «ὁδῷ βαδίζων διὰ τῆς» ἀνθρωπίνης «φύσεως», «προέκοπτεν», «ὡς ἐπὶ τὸ μέτρον προῆλθε τῆς ἀνθρωπότητος»[2616]. «Ἦν μὲν γὰρ ἱκανός, Θεὸς ὢν ὁ Λόγος, εἰς μέτρον ἀνδρὸς τελείου καὶ ἐκ μήτρας εὐθὺς τὴν ἰδίαν ἀναβιβάσαι σάρκα, ἀλλ' ἦν οὐ μακρὰν τερατοποιίας τὸ δρώμενον». Διὸ ἀκολουθεῖ ἐν σαρκὶ «τοῖς τῆς ἀνθρωπότητος ἔθεσί τε καὶ νόμοις»[2617]. «Οὐκοῦν (λοιπόν) οὐ καθ' ὃ Λόγος ἐστὶ καὶ Θεὸς προκόπτειν εἴρηται (ἔχει λεχθῇ)», ἀλλὰ καθ' ὃ ἄνθρωπος[2618]. Σαρκωθεὶς ὁ Θεὸς Λόγος, «πάντα τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη τοῦ ἀνθρώπου ἀνέλαβεν», ἅτινά εἰσι «πεῖνα, δίψα, κόπος, πόνος, τὸ δάκρυον, ἡ φθορά, ἡ τοῦ θανάτου παραίτησις, ἡ (φυσική) δειλία, ἡ ἀγωνία» «καὶ τὰ τοιαῦτα»[2619]. Ὡς λοιπὸν ταῦτα ἀνέλαβεν, οὕτως ἐδέχθη καὶ «τὴν ζωτικὴν καὶ λογιστικὴν» «αὔξησιν» τούτου[2620]. Ἐνανθρωπήσας ὁ Θεὸς Λόγος καὶ «τὸ προκόπτειν πεφυκὸς (φυσικῶς) ἀνεδέξατο» τῆς ἀνθρωπίνης φύσεως[2621]. Δηλαδὴ ἀνεδέχθη καὶ τὴν προκοπήν, ἣν ἐκ φύσεως ἔχει ἡ ἀνθρωπότης. Διὸ «τοῦ προσληφθέντος» ἀνθρωπίνου προσλήμματος, «οὐ τοῦ προσλαβόντος» τοῦτο Θεοῦ Λόγου, «ἐστὶν ἡ προκοπή»[2622]. Ὁ «παντέλειος ὡς Θεὸς» Λόγος, διότι «γέγονε σὰρξ καὶ προκόπτειν λέγεται»[2623] διὰ τὴν ἐν αὐτῷ «καθ' ὑπόστασιν»[2624] ἕνωσιν καὶ περιχώρησιν τῶν δύο φύσεων, θείας καὶ ἀνθρωπίνης, καὶ τὴν ἀντίδοσιν τῶν ἰδιωμάτων αὐτῶν (ἰ. ἀ. σ. 240). «Προκόπτει δὲ ἡλικίᾳ μὲν σω-

2611. Ματθ. κστ' 18.
2612. Χρυσοστόμου, PG. 59, 749.
2613. Κυρίλλου Ἀλεξ., PG. 73, 640.
2614. Ἐκκλησ. γ' 1.
2615. Κυρίλλου Ἀλεξ., PG. 72, 505.
2616. Γρηγορ. Νύσσης, PG. 45, 1149.
2617. Κυρίλλου Ἀλεξ., PG. 72, 508.
2618. Κυρίλλου Ἀλεξ., PG. 72, 509.
2619. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1081.
2620. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 36, 129.
2621. Κυρίλλου Ἀλεξ., PG. 72, 509.
2622. Λέοντος Ρώμης, Μ. 5, 1320.
2623. Κυρίλλου Ἀλεξ., PG. 72, 508. 509.
2624. Ὅρου Ε' Οἰκουμενικῆς Συνόδου, Μ. 9, 377.

μα, σοφίᾳ δὲ ψυχή. Θεότης γὰρ οὐδετέραν ἐπίδοσιν ἐπιδέχεται· παντέλειος γὰρ» ἐστιν «ὁ τοῦ Θεοῦ Λόγος»[2625].

Πῶς νοεῖται ἡ κατ' ἄνθρωπον προκοπὴ καὶ τελείωσις[2626] τοῦ Χριστοῦ «σοφίᾳ» «καὶ Χάριτι»; Ὁ Χριστὸς προκόπτειν λέγεται «σοφίᾳ», ὡς «τοῦ Θεοῦ Λόγου, τῇ τοῦ σώματος ἡλικίᾳ, συνεκτείνοντος κατὰ βραχὺ τῆς σοφίας τὴν ἔκφανσιν»[2627]. Οὕτω τὸ «προέκοπτε σοφίᾳ» «καὶ Χάριτι» νοεῖται, οὐχὶ ὡς προσθήκη, ἀλλ' ὡς φανέρωσις τοῦ ἐνυπάρχοντος[2628]. Ὁ Χριστὸς «τέλειος ἐν ἀνθρωπίνῃ καὶ θείᾳ σοφίᾳ», ἤτοι ἐν σοφίᾳ ἀνθρωπίνης καὶ θείας φύσεως, «ἐξ ἄκρας συλλήψεως γέγονεν, ὡς ἄνθρωπος δηλονότι· ὡς γὰρ Θεὸς οὐ γέγονε τέλειος ἐν θείᾳ σοφίᾳ, ἀλλ' ἦν ἀΐδιος»[2629], καθ' ὅτι «αὐτὸς ἐστιν ἡ σοφία τοῦ Θεοῦ»[2630]. «Κατὰ δὲ τὴν τῆς ἡλικίας τοῦ σώματος προκοπήν, ἡ τῆς ἐν αὐτῷ τελείας ἀνθρωπίνης σοφίας ἔκφανσις προκοπὴ ἐλογίζετο»[2631] καί, «πρὸς» «τὸ μέτρον τῆς τοῦ σώματος ἡλικίας, ἀπεκάλυπτεν ἡ θεία φύσις τὴν οἰκείαν σοφίαν». Οὕτω νοεῖται καὶ ἡ προκοπὴ καὶ τελείωσις τοῦ Χριστοῦ ἐν «Χάριτι»[2632], ἤτοι ὡς ἀποκάλυψις τοῦ Θεοῦ διὰ τῆς ἀνθρωπίνης φύσεως. Ὁ Θεὸς Λόγος, «αὐτὸς ὢν ἡ πᾶσα σοφία» καὶ ἡ Χάρις, προέκοπτε λέγεται «ἐν σοφίᾳ καὶ Χάριτι», «διὰ τοῦ γινώσκεσθαι πολλοῖς ὅτι τοιοῦτός ἐστιν». «Ἀποκαλυπτομένης γὰρ καὶ φανερουμένης ὁσημέραι τῆς θεότητος ἐν αὐτῷ, ἀεὶ θαυμαστότερος παρὰ τοῖς ὁρῶσιν ἐγίνετο»[2633], ὢν «πλήρης Χάριτος καὶ ἀληθείας»[2634].

«Εἷς ἐστιν ὁ Χριστὸς»[2635]. «καὶ ἕν» ἐστιν «αὐτοῦ τὸ πρόσωπον, ἤτοι ἡ ὑπόστασις». «Ἀλλ' ὅμως ἔχει δύο φύσεις, τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ»[2636]. Διὸ «καὶ δύο φυσικὰς θελήσεις, ἤτοι θελήματα (αὐτεξουσίους φυσικὰς θελητικὰς δυνάμεις)» ὁμολογοῦμεν «ἐν αὐτῷ καὶ δύο φυσικὰς ἐνεργείας, ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως». Δύο δὲ «φυσικὰ θελήματα» λέγομεν, «οὐχ ὑπεναντία», ἀλλὰ «τὸ ἀνθρώπινον αὐτοῦ θέλημα» «ἑπόμενον» «καὶ μὴ ἀντιπίπτον ἢ ἀντιπαλαῖον, μᾶλλον μὲν οὖν καὶ ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι»[2637]. «Ὥστε ἤθελε μὲν αὐτεξουσίως κινουμένη ἡ τοῦ Κυρίου ψυχή, ἀλλ' ἐκεῖνα αὐτεξουσίως ἤθελεν, ἃ ἡ

2625. Κυρίλλου Ἀλεξ., PG. 72, 508, 509.
2626. Γρηγορ. Θεολόγου, ΒΕΠΕΣ, 59, 248.
2627. Κυρίλλου Ἀλεξ., PG. 72, 508.
2628. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1088.
2629. Ἰ. Δαμασκηνοῦ, PG. 95, 177.
2630. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 33, 222.
2631. Ἰ. Δαμασκηνοῦ, PG. 95, 177.
2632. Κυρίλλου Ἀλεξ., PG. 72, 508.
2633. Κυρίλλου Ἀλεξ., PG. 72, 508, 509.
2634. Ἰωάν. α' 14.
2635. Ὅρου Ε' Οἰκουμενικῆς Συνόδου, Μ. 9, 381.
2636. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1057.
2637. Ὅρου ΣΤ' Οἰκουμενικῆς Συνόδου, Μ. 11, 637.

θεία αὐτοῦ θέλησις ἤθελε θέλειν (ἵνα θέλῃ)»[2638], «σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι»[2639]. Ἀλλ' ὅμως εἷς νοεῖται Χριστὸς ἐν θεότητι καὶ ἀνθρωπότητι. «Εἷς νοεῖται» ὁ σαρκωθεὶς Θεὸς Λόγος μετὰ τῆς προσληφθείσης ἀνθρωπότητος αὐτοῦ. «Ἀδιαίρετος γὰρ μετὰ τὴν ἐνανθρώπησιν»[2640] καὶ ἔστι καὶ νοεῖται «καὶ εἷς ὁ Χριστός». Διὸ «εἷς» ἐστιν «ὁ θέλων» Χριστὸς «κατ' ἄμφω (κατ' ἀμφοτέρας) τὰς φύσεις»[2641] καὶ «φυσικὰς θελήσεις, ἤτοι θελήματα»[4642], ἐπειδὴ «μία τοῦ Χριστοῦ ἡ ὑπόστασις»[2643], ἢ πρόσωπον, ἤγουν ἡ τοῦ Θεοῦ Λόγου. Συνεπῶς καὶ τὸ «θελητὸν» αὐτοῦ «ἕν, ὅτι καὶ ὁ θέλων εἷς»[2644]. Διὸ ἁγιότης τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐστιν ἡ ἁγιότης τοῦ Θεοῦ Λόγου. Ὁ «Χριστός, Θεὸς ὢν ἡνωμένος τῇ ἀνθρωπίνῃ οὐσίᾳ καθ' ὑπόστασιν, ἦν ἀγαθός», ἤγουν ἅγιος, «ὡς Θεός»[2645].

«Εἶχε δὲ» ὁ Χριστὸς «καὶ ὡς ἄνθρωπος αὐτεξουσίως τὸ ἀγαθόν, κατὰ φύσιν ὄν»[2646], καὶ «ἀρετὴν» «πᾶσαν καὶ δικαιοσύνην ἐπλήρωσεν»[2647], ἀλλ' οὐχὶ προκόπτων καὶ τελειούμενος, ἀλλ' ὡς ὁ ἐνανθρωπήσας ἅγιος Θεὸς Λόγος, ὁ μετὰ Πατρὸς καὶ Ἁγίου Πνεύματος ἀνυμνούμενος διὰ τοῦ τρισαγίου ὕμνου ἐν οὐρανῷ καὶ ἐπὶ γῆς[2648]. Λέγεται δὲ κατὰ φύσιν τὸ ἀγαθόν, καθ' ὅτι, «ὥσπερ» «τὸ κακὸν καὶ ἡ ἁμαρτία παρὰ φύσιν» νοεῖται, «οὕτω» «τὸ ἀγαθὸν καὶ ἡ ἀρετὴ κατὰ φύσιν ἐστίν»[2649] (ἰ. ἀ. σ. 64 - 65). Ὁ Χριστὸς καὶ κατ' ἄνθρωπον «οὐκ ἐξ ἔργων, οὐδὲ ἐξ ἀρετῆς προέκοπτεν, ἀλλ' ἐξ ἄκρας ἑνώσεως» τῶν δύο φύσεων, θείας καὶ ἀνθρωπίνης, κατὰ τὴν σύλληψιν, «ἦν τέλειος» ἐν ἁγιότητι[2650]. Ἁγία ἦτο ἡ ἐκ τῆς «προκαθαρθείσης τῷ Πνεύματι»[2651] Θεοτόκου ληφθεῖσα σὰρξ τοῦ ἐνανθρωπήσαντος Θεοῦ Λόγου (ἰ. ἀ. σ. 233), ἀλλὰ κατὰ τὴν σύλληψιν «ἐθεώθη»[2652], μὴ ἐκστᾶσα τῆς οἰκείας φύσεως. Διὸ καὶ τὸ «θέλειν», ἤγουν τὸ φυσικὸν θέλημα, τῆς ἀνθρωπίνης φύσεως τοῦ Χριστοῦ νοεῖται ὡς «θεοθὲν ὅλον»[2653], μὴ ἐκστὰν «τῶν οἰκείων» «ὅρων»[2654]. «Ὥσπερ γὰρ ἐν Χριστῷ διὰ τῆς ἑνώσεως ἡ ἀνθρωπίνη τεθέωτο (ἔχει θεωθῆ) φύσις, οὕτω» «καὶ ἡ θέλησις συντεθέωτο, καὶ ἡ ἐνέργεια»[2655]. Δὲν εἶναι «ὁμοούσιον τῷ ἐκ Θεοῦ Λόγῳ τὸ σῶμα»[2656], ἐπειδὴ ὅμως ὁ «τοῦ Θεοῦ Λόγος ἐνῴκησε τῇ

2638. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1076.
2639. Ἰ. Δαμασκηνοῦ, PG. 95, 181.
2640. Κυρίλλου Ἀλεξ., PG. 73, 577.
2641. Ἰ. Δαμασκηνοῦ, PG. 95, 160.
2642. Ὅρου ΣΤ' Οἰκουμενικῆς Συνόδου, Μ. 11, 637.
2643. Ἰ. Δαμασκηνοῦ, PG. 95, 160.
2644. Κυρίλλου Ἀλεξ., PG. 77, 1160.
2645. Κυρίλλου Ἀλεξ., PG. 77, 1153.
2646. Κυρίλλου Ἀλεξ., αὐτόθι.
2647. Ἰ. Δαμασκηνοῦ, PG. 95, 161.
2648. Ἡσ. στ' 3. Θ. Λειτουργίας.
2649. Κυρίλλου Ἀλεξ., PG. 77, 1153.
2650. Ἰ. Δαμασκηνοῦ, PG. 95, 161.
2651. Γρηγορ. Θεολόγου, PG. 36, 633.
2652. Γρηγορ. Θεολόγου, αὐτόθι.
2653. Ὅρου ΣΤ' Οἰκουμενικῆς Συνόδου, Μ. 11, 637. Γρηγορ. Θεολόγου, PG. 36, 117.
2654. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1052.
2655. Κυρίλλου Ἀλεξ., PG. 77, 1157.
2656. Κυρίλλου Ἀλεξ., PG. 73, 577.

σαρκί», «κατὰ τὸν ἄρρητον τῆς» ὑποστατικῆς «ἑνώσεως λόγον», «μετεσκεύασεν αὐτὴν εἰς τὸ ἴδιον ἀγαθόν»[2657]. Ἅγιος καὶ «μόνος ἅγιος» μετὰ Πατρὸς καὶ Πνεύματος[2658] εἶναι ὁ Θεὸς Λόγος, καὶ πρὸ σαρκώσεως αὐτοῦ καὶ ἐν σαρκί. Διὰ τοῦτο προεφητεύθη, ὅτι «πρὶν ἢ γνῶναι τὸ Παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν»[2659]. Ὁ Χριστός, ὡς δεύτερος Ἀδάμ, «ἐν μὲν τῇ παιδικῇ διαθέσει» πρὸς τὸ ἀγαθόν, «τὸ ἀκέραιον καὶ ἄτρωτον ἔτι τοῦ» πρώτου «Ἀδὰμ ἐμιμήσατο, ἐν δὲ τῷ ἀθετεῖν τὴν πονηρίαν, τὴν ἐκ τῆς παρακοῆς παρανομίαν ἐπηνωρθώσατο»[2660] (ἰ. ἀ. σ. 201).

4. «Πληρῶσαι πᾶσαν δικαιοσύνην»

«Ἐν ἔτει» «πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος»[2661], «ἐγένετο ρῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ, καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας, εἰς ἄφεσιν ἁμαρτιῶν»[2662].

«Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας»[2663] «ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ»[2664], ὢν «ὡσεὶ ἐτῶν τριάκοντα»[2665]. «Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίησιν αὐτόν· καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ, καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ' αὐτόν· καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»[2666]. Βαπτιζομένου τοῦ Κυρίου, «ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω»[2667], ἤτοι «ἀνεπόδισεν εἰς τὰ ὀπίσω»[2668].

Ὁ Ἰησοῦς Χριστὸς «οὔτε τὸ ἰουδαϊκὸν» βάπτισμα ἐβαπτίσθη, «οὔτε τὸ ἡμέτερον», ἤτοι τὸ χριστιανικόν, «ἀλλὰ τὸ Ἰωάννου»[2669]. Διαφέρουσι τὰ τρία βαπτίσματα, τὸ ἰουδαϊκὸν ἢ μωσαϊκόν, τὸ τοῦ Ἰωάννου καὶ τὸ χριστιανικόν. Τὸ ἰουδαϊκὸν βάπτισμα ἀπήλλαττεν ἀπὸ «ρύπων σωματικῶν», οὐκ ἀπὸ «τῶν κατὰ τὸ συνειδὸς ἁμαρτημάτων.

2657. Κυρίλλου Ἀλεξ., PG. 73, 565.
2658. Δοξολογίας.
2659. Ἡσ. ζ' 16.
2660. Μ. Βασιλείου, PG. 30, 465.
2661. Λουκ. γ' 1.
2662. Λουκ. γ' 2 - 3.
2663. Μάρκ. α' 9.
2664. Ματθ. γ' 13.
2665. Λουκ. γ' 23.
2666. Ματθ. γ' 14 - 17.
2667. Μ. Ἁγιασμοῦ τῶν Θεοφανείων.
2668. Χρον. Πασχάλ., PG. 92, 545.
2669. Χρυσοστόμου, PG. 49, 367.

Οὐ γὰρ εἴ τις μοιχείαν εἰργάσατο, οὐδὲ εἴ τις κλοπὴν ἐτόλμησεν, οὐδὲ εἴ τις ἄλλο τι τοιοῦτον παρηνόμησεν, ἀπήλλαττεν αὐτὸν τῶν ἐγκλημάτων, ἀλλ' εἴ τις ὀστῶν ἥψατο νεκρῶν, εἴ τις μὴ νενομισμένης ἐγεύσατο τροφῆς», «εἴ τις λεπροῖς συνεγίνετο, ἐλούετο καὶ μέχρι τῆς ἑσπέρας ἀκάθαρτος ἦν, εἶτα ἐκαθαίρετο» (ἰ. ἀ. σ. 180). «Λούσεται γὰρ τὸ σῶμα αὐτοῦ ὕδατι καθαρῷ», λέγει ὁ μωσαϊκὸς νόμος, «καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, καὶ καθαρισθήσεται[2670]. Οὐ γὰρ ἀληθῶς ἁμαρτία ταῦτα ἦν, οὐδὲ ἀκαθαρσία, ἀλλά, ἀτελεστέρους ὄντας» τοὺς τότε, «διὰ τῶν τοιούτων ποιῶν εὐλαβεστέρους ὁ Θεός, πρὸς τὴν τῶν μειζόνων παρατήρησιν ἀκριβεστέρους ἄνωθεν (ἐξ ἀρχῆς) παρεσκεύασε»[2671]. Τὸ δὲ χριστιανικὸν βάπτισμα «οὐ τοιοῦτον, ἀλλὰ πολλῷ μεῖζον καὶ πολλῆς γέμον Χάριτος. Καὶ γὰρ ἁμαρτημάτων ἀπαλλάττει καὶ ψυχὴν ἀποσμήχει (καθαρίζει) καὶ Πνεύματος δίδωσι χορηγίαν. Τὸ δὲ Ἰωάννου, τοῦ μὲν ἰουδαϊκοῦ σφόδρα ὑψηλότερον ἦν, τοῦ δὲ ἡμετέρου (χριστιανικοῦ) ταπεινότερον, καθάπερ γέφυρά τις ὂν ἑκατέρων τούτων τῶν βαπτισμάτων, ἀπ' ἐκείνου πρὸς τοῦτο δι' ἑαυτοῦ χειραγωγοῦν. Οὐ γὰρ δὴ (διότι ἀληθῶς ὄχι) εἰς παρατήρησιν καθαρμῶν σωματικῶν αὐτοὺς ἐνῆγεν (ὡδήγει), ἀλλ' ἀποστῆσαν (ἵνα ἀπομακρυνθῶσιν) ἐκείνων παρῄνει (προέτρεπε) καὶ συνεβούλευε μεταβαλεῖν (ἵνα μεταβάλωσι τὸν βίον) ἀπὸ κακίας εἰς ἀρετὴν καὶ ἐν τοῖς τῶν ἔργων κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν (ἵνα ἔχωσιν), οὐκ ἐν βαπτισμοῖς διαφόροις καὶ καθαρμοῖς ὑδάτων. Οὐ γὰρ ἔλεγε· πλῦνον τὰ ἱμάτιά σου καὶ λοῦσον τὸ σῶμά σου, καὶ ἔσῃ (θὰ εἶσαι) καθαρός. Ἀλλὰ τί; "Ποιήσατε" "καρπὸν ἄξιον τῆς μετανοίας"[2672]. Καί κατὰ τοῦτο ὑψηλότερον ἦν τοῦ ἰουδαϊκοῦ, τοῦ δὲ ἡμετέρου ταπεινότερον. Ἐπειδὴ μήτε Πνεῦμα Ἅγιον ἐδίδου τὸ βάπτισμα Ἰωάννου, μήτε τὴν διὰ τῆς Χάριτος παρεῖχε συγχώρησιν. Μετανοεῖν γὰρ ἐκέλευεν (ὁ Ἰωάννης), οὐκ ἀφιέναι (ἵνα συγχωρῇ ἁμαρτίας) κύριος ἦν»[2673]. Ἀλλὰ θεῖον ἦτο καὶ τὸ βάπτισμα τοῦ Ἰωάννου, ἡ δὲ βάπτισις εἰς τοῦτο ἐντολὴ Κυρίου. Διότι ὁ «Θεὸς ἔπεμψε τὸν Ἰωάννην, ὥστε βαπτίσαι (ἵνα βαπτίσῃ) τὸν λαόν»[2674].

Διατὶ ὁ Κύριος ἐβαπτίσθη τὸ βάπτισμα τοῦ Ἰωάννου; «Ἵνα καὶ δι' αὐτῆς τῆς τοῦ βαπτίσματος φύσεως μάθῃς, ὅτι οὐ δι' ἁμαρτίας ἐβαπτίσατο» ὁ Χριστός, «οὐδὲ ὡς τῆς τοῦ Πνεύματος δεόμενος χορηγίας· ἑκατέρων γὰρ τούτων ἔρημον ἐκεῖνο τὸ βάπτισμα» ἦν. Ὁ Χριστὸς οὔτε «ἁμαρτημάτων συγχωρήσεως ἐδεῖτο (εἶχεν ἀνάγκην)· πῶς γὰρ ὁ μηδεμίαν ἁμαρτίαν ἔχων;» «Ἅγιος γὰρ ἐστιν ἁγίων ὁ Μονο-

2670. Λευΐτ. ιζ' 15 καὶ κβ' 6.
2671. Χρυσοστόμου, PG. 49, 366.
2672. Ματθ. γ' 8.
2673. Χρυσοστόμου, PG. 49, 366 - 367.
2674. Χρυσοστόμου, PG. 49, 369.

λώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. Καὶ λίαν πρωΐ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· τὶς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;»[3887]. Ταῦτα «τὰ ρήματα» τῆς Σαλώμης «μόνης» «ἦν», ὡς ἀγνοούσης. Ὁ δὲ Εὐαγγελιστὴς ἐκ προσώπου πασῶν τῶν μυροφόρων ταῦτα λέγει, ὡς καὶ τὰ περὶ ἀρωμάτων καὶ τὰ λοιπά, διὰ «τὴν κοινὴν καὶ μίαν ὁδοιπορίαν»[3888].«Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε». Καὶ πρὸς Σαλώμην· «ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν». Καὶ πάλιν πρὸς πάσας· «ἀλλ᾽ ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ»[3889]. «Διὰ τὸ φοβερὸν τοῦ νεανίσκου», «διὰ τὸ τὴν ἡμέραν ἤδη προελθεῖν» καὶ διότι οἱ χριστοκτόνοι Ἰουδαῖοι «ἄνω καὶ κάτω» περιήρχοντο ἀπειλοῦντες καὶ φονῶντες, ἤτοι διψῶντες διὰ φόνους[3890]. Τὸ δὲ γεγραμμένον, ὅτι ὁ ἀναστὰς Κύριος «ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ», ἀναφέρεται εἰς τὴν πρωΐαν. Διὸ λέγει ἡ Γραφή, «πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ»[3891]. «Πρωῒ γάρ ἐστιν ἅπαν τὸ διάστημα, τὸ μετὰ τὴν τῶν ἀλεκτρυόνων βοήν». Οὕτω «πρώτη» ἐμφάνισις τοῦ ἀναστάντος Κυρίου ἐγένετο τὴν νύκτα πρὸς Μαρίαν τὴν Μαγδαληνὴν «σὺν τῇ ἄλλῃ Μαρίᾳ», ἤγουν τῇ Θεοτόκῳ. Καὶ «πάλιν μόνη θεασαμένη τὸν Κύριον» Μαρία ἡ Μαγδαληνή, πρώτη λέγεται ὅτι εἶδε τὸν ἀναστάντα τὴν πρωΐαν[3892].

Εἰρήνη καὶ Πνεῦμα Ἅγιον. Οἱ μαθηταὶ εἰς τὸ μήνυμα τῆς ἀναστάσεως τοῦ Κυρίου διὰ τῶν μυροφόρων «ἠπίστησαν»[3893]. Καὶ ὅτε «δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις»[3894] «εἰς κώμην» «Ἐμμαοὺς»[3895] καὶ αὐτοὶ «ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς, οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα, ἐφανερώθη καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεα-

3887. Μάρκ. ιστ´ 1 - 3.
3888. Γρηγορ. Νύσσης, PG. 46, 641, 644.
3889. Μάρκ. ιστ´ 4 - 8.
3890. Γρηγορ. Νύσσης, PG. 46, 644.
3891. Μάρκ. ιστ´ 9.
3892. Γρηγορ. Νύσσης, PG. 46, 645.
3893. Μάρκ. ιστ´ 11.
3894. Μάρκ. ιστ´ 12.
3895. Λουκ. κδ´ 13

σαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν»[3896]. Τότε, «οὔσης» «ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν»[3897]. «Τουτέστι, μὴ θορυβεῖσθε». «Ταῖς» «γυναιξὶν» «εὐαγγελίζεται χαράν», «διὰ τὴν λύπην»· «διότι ἐν λύπαις τὸ γένος ἐκεῖνο ἦν». «Τοῖς ἀνδράσιν» «εἰρήνην» ὡς «παραμυθίαν», «διὰ τὸν πόλεμον» τῶν Ἰουδαίων[3898]. Ὁ Χριστὸς ἐγεννήθη ὡς «ἐπὶ γῆς εἰρήνη»[3899]. Καὶ πρὸ τοῦ πάθους ἔλεγεν εἰς τοὺς μαθητάς· «εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν»[3900]. Μετὰ τὸ πάθος, «πάντα» «καταλύσας τὰ λυπηρά, ἐπιλέγει τὰ κατορθώματα τοῦ Σταυροῦ· ταῦτα δὲ ἦν ἡ εἰρήνη». «Πρῶτον μετὰ τὴν ἀνάστασιν εἶπε» πρὸς τοὺς μαθητὰς «τὸ ῥῆμα» τοῦτο. «Διὸ καὶ Παῦλος πανταχοῦ φησι (λέγει), "Χάρις ὑμῖν καὶ εἰρήνη"[3901]»[3902]. Ὁ Χριστὸς «γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν», ὃς ἀποκατήλλαξεν ἡμᾶς «τῷ Θεῷ διὰ τοῦ σταυροῦ» αὐτοῦ, «ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ»[3903], ἤτοι «τὴν ὀφειλομένην δίκην αὐτὸς» «ὑποστὰς διὰ τοῦ σταυροῦ»[3904]. Διὸ ἀναστὰς «εὐηγγελίσατο εἰρήνην ἡμῖν», «ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν» «πρὸς τὸν Πατέρα»[3905]. Ἐν μέσῳ τῶν μαθητῶν ὁ ἀναστὰς Κύριος «κατασπάζεται» τούτους διὰ τοῦ «εἰρήνη ὑμῖν», «ἑαυτὸν εἶναι λέγων τὴν εἰρήνην»[3906].

«Εἰρήνη ὑμῖν» «εἰπὼν» πρὸς τοὺς μαθητὰς ὁ Χριστός, «ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον»[3907], ὡς προεῖπεν ὁ Χριστὸς πρὸ τοῦ πάθους. Ἤτοι «μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με», «καὶ χαρήσεται ὑμῶν ἡ καρδία»[3908]. Οὕτως «ἐπὶ τῶν ἔργων» οἱ λόγοι τοῦ Κυρίου ἐξέβαινον[3909]. «Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· εἰρήνη ὑμῖν»[3910], αὐτὸς ὢν ἡ ὄντως εἰρήνη, ἡ εἰρήνη τῆς ἀληθείας, «ἡ ὑπερέχουσα πάντα νοῦν»[3911], ἤτοι «ἐπέκεινα νοῦ παντὸς» οὖσα[3912]. Καθὼς ἀπέσταλκέ με ὁ Πατήρ, κἀγὼ πέμπω ὑμᾶς. Καί, τοῦτο εἰπών, ἐνεφύσησε καὶ λέγει αὐτοῖς· λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται»[3913]. «Κεχειροτόνηκε» τοὺς μαθητὰς «ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς» «τῆς

3896. Μάρκ. ιστ' 13 - 14.
3897. Ἰωάν. κ' 19.
3898. Χρυσοστόμου, PG. 59, 470.
3899. Λουκ. β' 14.
3900. Ἰωάν. ιδ' 27.
3901. 1 Κορινθ. α' 3.
3902. Χρυσοστόμου, PG. 59, 470.
3903. Ἐφεσ. β' 14, 16.
3904. Χρυσοστόμου, PG. 62, 40.
3905. Ἐφεσ. β', 17, 18.
3906. Κυρίλλου Ἀλεξ., PG. 74, 705.
3907. Ἰωάν. κ' 19 - 20.
3908. Ἰωάν. ιστ' 16, 22.
3909. Χρυσοστόμου, PG. 59, 470.
3910. Ἰωάν. κ' 2.
3911. Φιλιππησ. δ' 7.
3912. Κυρίλλου Ἀλεξ., PG. 74, 708.
3913. Ἰωάν. κ' 22 - 23.

οἰκουμένης καθηγητὰς τε καὶ διδασκάλους καὶ τῶν θείων αὐτοῦ μυστηρίων οἰκονόμους», ἵνα ὡς φωστῆρες ἀναλάμψωσι καὶ καταυγάσωσι «τὴν ὑφ' ἡλίῳ σύμπασαν»[3914]. Διὸ Πνεῦμα Ἅγιον δίδει εἰς αὐτούς. «Ἐξ ἑαυτοῦ» ἐχορήγησε τοῦτο, καθ' ὅτι «οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Ἅγιον Πνεῦμά ἐστιν, ἀλλ' ὁμοούσιον αὐτῷ». Τὸ Πνεῦμα τὸ Ἅγιον, «προϊὸν» «ἐκ τοῦ Πατρός»[3915], ἤτοι «ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον»[3916], «δι' Υἱοῦ» ἀποστέλλεται καὶ χορηγεῖται «εἰς ἡμᾶς παρὰ Πατρός»[3917]. Διότι πάντα τὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματός εἰσι, κατὰ τὸ «ἐμὰ πάντα σά ἐστι καὶ τὰ σὰ ἐμὰ» τοῦ Κυρίου[3918]. Ἐπειδὴ δὲ μία ἡ οὐσία ἢ φύσις Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, κοινὴ τῶν προσώπων ἐστὶν ἡ διδομένη Χάρις τῆς ἀναστάσεως (ἰ. ἀ. σ. 7 - 8). «Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου μία ἡ δωρεὰ καὶ ἐξουσία. Ἃ γὰρ δοκεῖ ἰδιάζοντα εἶναι τοῦ Πατρός, ταῦτα καὶ τοῦ Υἱοῦ» ἐστι «καὶ τοῦ Ἁγίου Πνεύματος»[3919].

«Δι' ἐμφυσήματος ἐναργοῦς τὸ Πνεῦμα χαρίζεται» ὁ ἀναστὰς Κύριος[3920], ὡς καὶ κατὰ τὴν δημιουργίαν τοῦ ἀνθρώπου. Τότε, «χοῦν ἀπὸ τῆς γῆς» λαβὼν ὁ Θεός, «ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς»[3921], ἤγουν «νοερὰν ψυχὴν» κατ' «εἰκόνα Θεοῦ»[3922], καὶ οὕτω «ψυχώσας» «καὶ τῇ τοῦ ἰδίου Πνεύματος μετουσίᾳ καταφαιδρύνας αὐτόν»[3923], ἐγένετο διφυὴς ἐκ ψυχῆς καὶ σώματος ὁ ἄνθρωπος ἐν Πνεύματι Ἁγίῳ (ἰ. ἀ. σ. 39, 40, 54). Ἐκπεσὼν ὅμως διὰ τῆς ἁμαρτίας, ἐστερήθη τῆς θείας Χάριτος καὶ ἐγένετο «γῆ»[3924]. Ὁ δὲ σταυρωθεὶς καὶ ἀναστὰς Κύριος ἐπαναχορηγεῖ τὴν Χάριν τοῦ Ἁγίου Πνεύματος καὶ ἀναπλάττει τὸν πεπτωκότα. Οὕτως, «ὡς» «ἐξ ἀρχῆς ἐπλάσθη καὶ γέγονεν, οὕτω καὶ ἀνακαινίζεται, καὶ ὥσπερ ἐμορφώθη τότε κατ' εἰκόνα τοῦ κτίσαντος, οὕτω καὶ νῦν, τῇ τοῦ Πνεύματος μετουσίᾳ, πρὸς ἐμφέρειαν (ὁμοιότητα) μεταπλάττεται τοῦ ἰδίου Ποιητοῦ»[3925]. Καὶ ὅπως τότε ἡ Ἁγία Τριὰς ἐποίησε τὸν ἄνθρωπον, οὕτω καὶ νῦν ὁ αὐτὸς τριαδικὸς Θεὸς Πατὴρ Υἱὸς καὶ Ἅγιον Πνεῦμα ἀνανεώνει τὸν σωζόμενον (ἰ. ἀ. σ. 38). «Πράττεται γὰρ πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι» Ἁγίῳ[3926] (ἰ. ἀ. σ. 8 - 9). Ὡς ἀπαρχὴν δὲ «τῆς ἀνανεουμένης κτίσεως» «κατοικίζει πάλιν τὸ ἴδιον Πνεῦμα» ὁ «Χριστὸς ἐν τοῖς ἑαυτοῦ μαθηταῖς», «εἰς ἀφθαρσίαν τε καὶ δόξαν, εἰς

3914. Κυρίλλου Ἀλεξανδρείας, PG. 74, 708 - 709.
3915. Κυρίλλου Ἀλεξανδρείας, PG. 74, 709, 712.
3916. Συμβόλου τῆς Πίστεως. Ἰωάν ιε' 26.
3917 Κυρίλλου Ἀλεξ., PG. 74, 712.
3918. Ἰωάν. ιζ' 10.
3919. Χρυσοστόμου, PG. 59, 471.
3920. Κυρίλλου Ἀλεξ., PG. 74, 716.
3921. Γενέσ. β' 7.
3922. Γρηγορ. Θεολόγου, PG. 36, 632.
3923. Κυρίλλου Ἀλεξ., PG. 74, 713.
3924. Γενέσ. γ' 19.
3925. Κυρίλλου Ἀλεξ., PG. 74, 716.
3926. Κυρίλλου Ἀλεξ., Μ. 4, 869.

εἰκόνα τὴν θεοειδῆ»[3927]. Καὶ νῦν μὲν δίδει εἰς τοὺς μαθητὰς τὸ Πνεῦμα ὡς «ἀπαρχὴν» «τινα τῆς ἐπαγγελίας», «ἐν δὲ ταῖς ἡμέραις τῆς ἁγίας Πεντηκοστῆς» θὰ ποιήσῃ «ἐμφανεστέραν τῆς Χάριτος τὴν ἀνάρρησιν (ἀνακήρυξιν) καὶ τὴν φανέρωσιν τοῦ ἐνοικισθέντος αὐτοῖς Ἁγίου Πνεύματος»[3928]. «Εἰδικώτερον, ἐν τῷ παρόντι οἱ μαθηταὶ ἔλαβον τὴν Χάριν, «ὥστε ἀφεῖναι (ἵνα συγχωρήσωσιν) ἁμαρτήματα», καὶ «μετὰ τεσσαράκοντα ἡμέρας τὴν τῶν σημείων (θαυμάτων) ἔλαβον ἐνέργειαν»[3929]. Συγχωροῦσι δὲ ἁμαρτήματα διὰ Χριστοῦ «κατὰ δύο τρόπους», τοῦ Μυστηρίου τοῦ Βαπτίσματος καὶ τοῦ Μυστηρίου τῆς Μετανοίας[3930]. Διὸ «εἶπεν αὐτοῖς» προσέτι ὁ Ἀναστάς, «ὅτι οὕτω γέγραπται καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Ὑμεῖς δὲ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς»[3931], ἤτοι τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνεύματος κατὰ τὴν Πεντηκοστήν.

«Θωμᾶς δέ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν», ἤτοι τῶν λοιπῶν μαθητῶν, «ὅτε ἦλθεν ὁ Ἰησοῦς»[3932]. Πλὴν καὶ εἰς τοῦτον ἐδόθη, ἂν καὶ ἀπόντα, ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος, καθὼς εἰς τοὺς παρόντας Ἀποστόλους, ὡς «ἀπονεμηθείσης τῆς δωρεᾶς» «ὅλῳ τῷ πληρώματι τῶν ἁγίων μαθητῶν»[3933]. «Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω»[3934]. «Οὐκ ἐπίστευσεν, οὐ τοσοῦτον ἐκείνοις», ἤγουν τοῖς μαθηταῖς, «ἀπιστῶν, ὅσον τὸ πρᾶγμα ἡγούμενος (φρονῶν) ἀδύνατον εἶναι· τουτέστιν τὴν ἐκ νεκρῶν ἀνάστασιν»[3935]. «Οἰκονομικώτατα σφόδρα» ἐπέτρεψεν ὁ Χριστὸς «τὴν τοῦ μαθητοῦ» «πρὸς καιρὸν ὀλιγοπιστίαν, ἵνα διὰ τῆς αὐτοῦ πληροφορίας καὶ ἡμεῖς οἱ μετ' αὐτὸν ἀνενδοιάστως πιστεύωμεν, ὅτι τὴν σάρκα, τὴν ἐπὶ τοῦ ξύλου κρεμαμένην καὶ παθοῦσαν τὸν θάνατον, ἐζωοποίησεν ὁ Πατὴρ δι' Υἱοῦ» ἐν Ἁγίῳ Πνεύματι[3936]. Ὡς σκεύη εὔπλαστα μετεποίει ὁ Κύριος τοὺς μαθητὰς εἰς πιστοὺς μάρτυρας τῆς ἀναστάσεως, κατὰ τὸ συμφέρον τῆς ἐν Χριστῷ σωτηρίας τοῦ κόσμου. Διὸ «μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ' αὐτῶν»[3937]. Μεθ' ἡμέρας ὀκτὼ

3927. Κυρίλλου Ἀλεξ., PG. 74, 716.
3928. Κυρίλλου Ἀλεξ., PG. 74, 717.
3929. Χρυσοστόμου, PG. 59, 471.
3930. Κυρίλλου Ἀλεξ., PG. 74, 721.
3931. Λουκ. κδ' 46 - 49.
3932. Ἰωάν. κ' 24.
3933. Κυρίλλου Ἀλεξ., PG. 74, 728.
3934. Ἰωάν. κ' 25.
3935. Χρυσοστόμου, PG. 59, 473.
3936. Κυρίλλου Ἀλεξ., PG. 74, 724.
3937. Ἰωάν. κ' 26.

«τὴν ὀγδόην» λέγει, «τοῦτ᾽ ἔστι τὴν Κυριακήν». Διὸ κατ᾽ αὐτὴν τὴν ἡμέραν «τὰς ἁγίας συνόδους» τοῦ ἐκκλησιασμοῦ «ἐν ταῖς Ἐκκλησίαις ποιούμεθα»[3938]. «Ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός»[3939]. Ὥστε «ἀπιστίας ἦν ἡ ἀμφιβολία» τοῦ μαθητοῦ[3940]. Ἀλλὰ καὶ οἱ λοιποὶ μαθηταὶ «οὐκ ἐλευθέραν ἐνδοιασμοῦ διάνοιαν εἶχον»[3941]. Διό, ὅτε πρῶτον ἐφάνη εἰς αὐτοὺς ἀναστάς, «ἐδόκουν πνεῦμα θεωρεῖν»[3942]. Ὁ δὲ Κύριος «ἐν πολλοῖς τεκμηρίοις», ἤτοι δι᾽ ἀσφαλῶν ἀποδείξεων, «παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν»[3943] καὶ οὕτως ἐποίησεν ἀκράδαντον τὴν πίστιν τῶν μαθητῶν εἰς τὸ θαῦμα τῆς ἀναστάσεως. Διὸ ὁ Θωμᾶς ἐγένετο «ὀξὺς εἰς ὁμολογίαν, ὁ ἄρτι (πρὸ ὀλίγου) βραδὺς περὶ τὸ» «πιστεύειν»[3944]. «Καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· ὁ Κύριός μου καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες»[3945].

«Μαθητεύσατε πάντα τὰ ἔθνη». Ὁ ἀναστὰς Κύριος «δι᾽ ἡμερῶν τεσσαράκοντα» ἐνεφανίζετο εἰς τοὺς μαθητάς, «λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ»[3946]. Ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Ἰωάννης μαρτυρεῖ: «Ὃ ἦν ἀπ᾽ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν», «μαρτυροῦμεν καὶ ἀπαγγέλομεν ὑμῖν», ἤγουν τὸν ἀναστάντα Κύριον Ἰησοῦν Χριστόν, «τὴν ζωὴν» ἡμῶν[3947]. Καὶ ὁ Ἀπόστολος Πέτρος: «Τοῦτον», ἤτοι τὸν Χριστόν, «ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν· καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν»[3948]. Καὶ ὁ Ἀπόστολος Παῦλος μαρτυρεῖ λέγων: «Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν», «παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφὰς καὶ ὅτι ἐτάφη καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς καὶ ὅτι ὤφθη Κηφᾷ (εἰς τὸν

3938. Κυρίλλου Ἀλεξ., PG. 74, 725.
3939. Ἰωάν. κ' 26 - 27.
3940. Χρυσοστόμου, PG. 59, 473.
3941. Κυρίλλου Ἀλεξ., PG. 74, 732.
3942. Λουκ. κδ' 37.
3943. Πράξ. α' 3.
3944. Κυρίλλου Ἀλεξ., PG. 74, 729.
3945. Ἰωάν. κ' 28 - 29.
3946. Πράξ. α' 3.
3947. 1 Ἰωάν. α' 1 - 2.
3948. Πράξ. ι' 40 - 42.

Πέτρον), εἶτα τοῖς δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ»· «ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων» «ὤφθη κἀμοί»[3949]. Ἡ δὲ Ἐκκλησία ἕνδεκα περικοπὰς ἑωθινῶν Εὐαγγελίων ἀναγινώσκει κατὰ τὴν ἀκολουθίαν τοῦ Ὄρθρου, καθ᾽ ὅτι εἰς ἕνδεκα ἀριθμοῦνται αἱ ἐμφανίσεις τοῦ ἀναστάντος Κυρίου μέχρι τῆς ἀναλήψεως. «Ἕνδεκα γὰρ ὄντων» τότε «τῶν μαθητῶν, ἑνδεκάτην καὶ αὐτὸς τὴν ὀπτασίαν ἐποιήσατο»[3950]. Ἀριθμοῦνται δὲ αἱ ἐμφανίσεις αὗται ὡς ἀκολούθως. Πρῶτον, ὤφθη τῇ Θεοτόκῳ καὶ Μαρίᾳ τῇ Μαγδαληνῇ. Δεύτερον, Μαρίᾳ τῇ Μαγδαληνῇ μόνῃ. Τρίτον, τῷ Πέτρῳ. Τέταρτον, «τοῖς περὶ Κλεόπαν» καθ᾽ ὁδὸν «εἰς Ἐμμαούς». Πέμπτον, «τοῖς δέκα, μὴ παρόντος» τοῦ «Θωμᾶ». Ἕκτον, παρόντος τοῦ Θωμᾶ, «ὁμοῦ ἐπάνω πεντακοσίοις ἀδελφοῖς, ἐφάπαξ». Ἕβδομον Ἰακώβῳ. Ὄγδοον, «τοῖς ἑπτὰ ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος». Ἔνατον, «τοῖς ἀποστόλοις πᾶσιν, τουτέστι τοῖς ἑβδομήκοντα». Δέκατον, «εἰς τὸ ὄρος τῆς Γαλιλαίας, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς», καὶ ἑνδέκατον, «εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ὅτε καὶ ἡ ἀνάληψις»[3951].

Εἰς «τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς»[3952], ἐμφανισθεὶς ὁ ἀναστὰς Κύριος, εἶπε «μετ᾽ ἐξουσίας» «θεοπρεποῦς»[3953]. «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[3954]. «Ὃ γὰρ εἶχε φυσικῶς ὡς Θεός, ταῦτα λέγεται λαμβάνειν (ὅτι λαμβάνει) ὡς γενόμενος ἄνθρωπος οἰκονομικῶς». Μετὰ τοῦτο, «ἐπιφέρει» ὁ Κύριος τοὺς λόγους, «δι᾽ ὧν» οἱ ἅγιοι Ἀπόστολοι «ἔμελλον τὴν οἰκουμένην ὅλην σαγηνεύειν καὶ ἐν οἷς ἐστιν ἅπαν τὸ τῆς εὐσεβείας μυστήριον»[3955]. «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν»[3956]. «Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται»[3957]. Καὶ προσθέτει ἐν τέλει λόγους, οἵτινες ἐγγυῶνται «τὴν ἔκβασιν» τῶν λεχθέντων[3958], λέγων· «καὶ ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος»[3959]. Πρὸς τὴν «ἰδίαν» «καὶ ἐξαίρετον» ταύτην ἐμφάνισιν τοῦ Κυρίου, ἐξελέγη παρ᾽ αὐτοῦ τὸ ὄρος τῆς Γαλιλαίας, διότι Γαλιλαία «ἡ Κατακυλιστὴ» «ἑρμηνεύεται. Διὸ καὶ γελγὲλ ὁ τροχὸς ὀνομάζεται. Καθάπερ οὖν ἐξ ὄρους ὑψηλοῦ», ἤτοι τοῦ «στόματος» τοῦ ἀναστάντος Σωτῆρος, προῆλθον «ταῦτα τὰ ρήματα», καὶ

3949. 1 Κορινθ. ιε´ 1, 3 - 8.
3950. Μ. Φωτίου, PG. 101, 716.
3951. Μ. Φωτίου, PG. 101, 716 - 717.
3952. Ματθ. κη´ 16.
3953. Γρηγορ. Νύσσης, PG. 46, 649.
3954. Ματθ. κη´ 18.
3955. Γρηγορ. Νύσσης, PG. 44, 649.
3956. Ματθ. κη´ 19 - 20.
3957. Μάρκ. ιστ´ 16.
3958. Γρηγορ. Νύσσης, PG. 46, 649.
3959. Ματθ. κη´ 20.

«δίκην τροχοῦ κατὰ τῆς οἰκουμένης» ἐκυλίσθησαν καὶ διέτρεξαν. Διὸ ἐβαπτίσθησαν πρὸς ἐν Χριστῷ σωτηρίαν «ἔθνη καὶ πόλεις, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[3960]. Ἡ δὲ Ἐκκλησία τοῦ Χριστοῦ «ἐγενήθη ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν»[3961] (ἰ. ἀ. σ. 211 - 212).

Ὥρα τῆς ἀναστάσεως τοῦ Κυρίου. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀνέστη τὸ ἔτος ͵εφμ΄ (5540) ἀπὸ κτίσεως κόσμου[3962], ἢ κατὰ τὸ ἰουλιανὸν ἡμερολόγιον τὸ ͵εφλθ΄ (5539) ἀπὸ κτίσεως[3963]. Ἠγέρθη τὴν ἑκκαιδεκάτην μηνὸς Νισάν[3964], ἢ κατὰ ἰουλιανὸν ἡμερολόγιον τὴν 25ην Μαρτίου μηνός, καθ' ὅτι τὴν 23ην Μαρτίου ἐσταυρώθη[3965]. Δηλαδή, καθ' ἣν ἡμερομηνίαν ἐγένετο ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου καὶ ὁ Θεὸς Λόγος κατῆλθεν ἐπὶ γῆς σαρκωθείς, κατ' αὐτὴν καὶ ἀνέστη ἐκ τοῦ τάφου τριήμερος (ἰ. ἀ. σ 236). Ὁ Χριστὸς ἀνεστήθη τὴν νύκτα τῆς Κυριακῆς, ἥτις ὁρίζεται ἀπὸ τῆς ἑσπέρας τοῦ Σαββάτου ἕως τοῦ ὄρθρου τῆς Κυριακῆς, ἢ ἀπὸ δύσεως ἡλίου τοῦ Σαββάτου μέχρις ἀνατολῆς ἡλίου τῆς Κυριακῆς. Ἡ ἀκριβὴς ὅμως ὥρα τῆς ἀναστάσεως τοῦ Κυρίου εἶναι «πᾶσιν» ἀνθρώποις καὶ ἀγγέλοις ἄγνωστος καὶ γνωστὴ μόνον εἰς τὸν ἐν Τριάδι Θεόν[3966], καθὼς καὶ ἡ ἡμέρα καὶ ὥρα τῆς δευτέρας παρουσίας αὐτοῦ[3967]. Εἰς τὰ τέσσαρα Εὐαγγέλια «μηδὲν ἀπηκριβωμένον ἐν αὐτοῖς περὶ τῆς ὥρας, καθ' ἣν ἀνέστη φαίνεται», καθ' ὅτι «πότε» ὁ Χριστὸς «ἀνέστη, σαφῶς οὐδεὶς» Εὐαγγελιστὴς «ἀπεφήνατο (ἀπεκάλυψεν)»[3968]. Οἱ ἄγγελοι εἶπον εἰς τὰς μυροφόρους ὅτι ἠγέρθη ὁ Κύριος, οὐδεὶς ὅμως ἐπεσήμανε τὸ «πότε»[3969]. Πρὸ τῆς ἀφίξεως τοῦ πρώτου ἀγγέλου εἰς τὸν τάφον ἠγέρθη ὁ Χριστός, «τοῦ λίθου καὶ τῶν σημάντρων ἐπικειμένων»[3970]. Ὁ Κύριος ἀνέστη αὐτεξουσίως καὶ «ἰδίᾳ δυνάμει» «ὡς Θεός», «ἀγγελικῆς συμμαχίας οὐ δεηθείς». Ὁ ἄγγελος, ὁ τὸν «λίθον ἀποκυλίσας, εὗρεν ἐγηγερμένον τὸν Κύριον, κεκλεισμένον τὸν τάφον καὶ ταῖς σφαγῖσι κατησφαλισμένον, καὶ τῇ στρατιωτικῇ φρουρᾷ πεφυλαγμένον»[3971]. Διό, «γυμνὴν ἐκφαίνων τὴν θεοπρεπεστάτην ἐξουσίαν τοῦ ἀναστάντος, ἐβόα· "οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη"[3972]»[3973],

3960. Γρηγορ. Νύσσης, PG. 46, 649, 652.
3961. Δαν. β΄ 35.
3962 Χρον. Πασχάλ., PG. 92, 537.
3963. Ματθαίου Βλαστ., PG. 145, 73.
3964. Θεοφίλου Ἀλεξ., PG. 65, 52.
3965. Χρον. Πασχάλ., PG. 92, 537. Ματθ. Βλαστ., PG. 145, 73.
3966. Γρηγορ. Νύσσης, PG. 46, 629. Ματθαίου Βλαστάρεως, PG. 145, 105 - 108.
3967. Ματθ. κδ΄ 36.
3968. Διονυσίου Ἀλεξανδρείας, ΒΕΠΕΣ, 17, 220 - 221.
3969. Γρηγορ. Νύσσης, PG. 46, 629.
3970. Χρυσοστόμου, PG. 59, 464.
3971. Γρηγορ. Νύσσης, PG. 46, 629.
3972. Λουκ. κδ΄ 6.
3973. Γρηγορ. Νύσσης, PG. 46, 629.

ἤτοι ἀφ' ἑαυτοῦ. Τὸ λεγόμενον, ὅτι ἠγέρθη ὑπὸ τοῦ «Θεοῦ Πατρός»[3974], τὸν «αὐτὸν ἔχει νοῦν»[3975]. Ἐπειδὴ μία ἐστὶν ἡ οὐσία ἢ φύσις τῆς θεότητος τῶν τριῶν προσώπων, Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, μία καὶ αὐτὴ ἐστιν ἡ ἐνέργεια, κἂν ἐκ προσώπου ἑνὸς τῆς Τριάδος λέγηται (ἰ. ἀ. σ. 7 - 9). «Οὐκοῦν (λοιπόν) ἑαυτὸν ἀνέστησεν ὁ Σωτήρ, εἰ καὶ ὑπὸ τοῦ Πατρὸς ἐγηγέρθαι (ὅτι ἔχει ἐγερθῆ) λέγεται»[3976].

Πλὴν ἡ Ἐκκλησία πρὸς ἑορτασμὸν τοῦ Πάσχα ὑπελόγισε κατὰ προσέγγισιν τὸν χρόνον τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Αἱ πρῶται μυροφόροι ἦλθον εἰς τὸν τάφον «ὀψὲ» «σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων»[3977]. «Ὀψέ», δηλαδὴ «βράδιον»[3978], καθ' ὅτι «ὀψὲ» σημαίνει «βραδύτητα καὶ μακρὸν χρόνον»[3979] καὶ ἀργοπορίαν. Τὸ δὲ «ὀψὲ σαββάτων» δηλοῖ ἀργὰ τὴν νύκτα τῆς ληξάσης ἑβδομάδος, ἤτοι τὴν νύκτα τῆς Κυριακῆς. «Τῇ ἐπιφωσκούσῃ» σημαίνει «τὸν καιρὸν τῆς τῶν ἀλεκτρυόνων βοῆς, ἥτις τὸ φῶς τῆς μελλούσης ἡμέρας προαναχρούεται»[3980], δηλαδὴ «νύκτα βαθεῖαν»[3981], πλησίον τοῦ μεσονυκτίου. Οὕτως ἡ ἀνάστασις τοῦ Κυρίου «εἰς τὸν μεσαίτατον» τοῦ διαστήματος» «τῆς νυκτὸς» «ἔρχεται τόπον»[3982]. Ἡ Ἐκκλησία, κατ' ἀρχαίαν παράδοσιν, ἐν τῷ μέσῳ τῆς νυκτὸς τῆς Κυριακῆς τοῦ Πάσχα ἑορτάζει τὴν ἀνάστασιν, ὁπότε οἱ Χριστιανοὶ λύουσι τὰς νηστείας[3983]. Ἐν «τῷ καιρῷ τούτῳ», «καταλύοντες τὰς νηστείας, τῆς εὐφροσύνης ἀρχόμεθα», κατὰ τὴν «κατὰ πάντων» κρατήσασαν συνήθειαν, λέγει Γρηγόριος ὁ Νύσσης[3984]. Ἀνέκαθεν οἱ Χριστιανοὶ ἐνήστευον τοὐλάχιστον «μέχρι» «τῆς τοῦ Σαββάτου νυκτερινῆς ς' (ἕκτης) ὥρας», ἤγουν δωδεκάτης σημερινῆς[3985]. Καὶ ἡ ΣΤ' Οἰκουμενικὴ Σύνοδος «περὶ μέσας τῆς μετὰ τὸ Μέγα Σάββατον νυκτὸς ὥρας» ὁρίζει τὴν λύσιν τῆς νηστείας[3986].

Κατὰ τὸν χρόνον τοῦτον τῆς νυκτὸς τῆς Κυριακῆς τῆς ἀναστάσεως, συμπληροῦται τριήμερον ἀπὸ τοῦ μεσονυκτίου τῆς παραδόσεως τοῦ Μυστηρίου τῆς Θείας Εὐχαριστίας εἰς τοὺς μαθητάς. Οὕτω καινοτομεῖται νέος ὑπολογισμὸς ἐνάρξεως καὶ λήξεως τῆς ἡμέρας, ἤτοι ἀπὸ μεσονυκτίου εἰς μεσονύκτιον. Διὸ ἐν τῇ Ἐκκλησίᾳ ἡ εἰκοσιτετράωρος ἡμέρα λογίζεται καὶ «ἀπὸ τῆς ζ' (ἑβδόμης) ὥρας τῆς νυκτὸς» «ἕ-

3974. Γαλάτ. α' 1.
3975. Γρηγορ. Νύσσης, PG. 46, 629.
3976. Γρηγορ. Νύσσης, PG. 46, 629.
3977. Ματθ. κη' 1.
3978. Γρηγορ. Νύσσης, PG. 46, 632.
3979. Διονυσίου Ἀλεξ., ΒΕΠΕΣ, 17, 221.
3980. Γρηγορ. Νύσσης, PG. 46, 632.
3981. Διονυσίου Ἀλεξ., ΒΕΠΕΣ, 17, 221. Ματθαίου Βλαστ., PG. 145, 105.
3982. Κυρίλλου Ἀλεξ., PG. 74, 685.
3983. Διονυσίου Ἀλεξ., ΒΕΠΕΣ, 17, 222.
3984. Γρηγορ. Νύσσης, PG. 46, 632.
3985. Ματθ. Βλαστ. PG. 145, 105.
3986. ΠΘ' Κανόνος ΣΤ' Οἰκουμενικῆς Συνόδου.

ως τῆς ς΄ (ἕκτης) ὥρας τῆς ἀκολούθου νυκτός»[3987]. Δηλαδή, ἀπὸ τῆς σημερινῆς μιᾶς νυκτερινῆς ἕως τῆς δωδεκάτης νυκτερινῆς, ἢ ἄλλως ἀπὸ τοῦ μετὰ τὴν δωδεκάτην ὥραν τῆς νυκτὸς χρόνου, μέχρι τοῦ πρὸ τῆς πρώτης νυκτερινῆς ὥρας χρόνου. Κατὰ τὴν δημιουργίαν, ἡ ἡμέρα ἤρχιζεν ἀπὸ πρωΐας, ἤτοι ἀπὸ φωτός, διότι ἐν φωτὶ ἐποιήθησαν τὰ ἔργα Κυρίου, μάλιστα δὲ τὸ φῶς τοῦ κόσμου, ὁ ἄνθρωπος. Μετὰ τὴν πτῶσιν τῶν πρωτοπλάστων, ἀρχὴ τῆς ἡμέρας λογίζεται ἡ δύσις τοῦ ἡλίου, καθ' ὅτι διὰ τῆς ἁμαρτίας ὁ ἄνθρωπος ἐγένετο σκότος καὶ ἐν σκότει διαπορεύεται (ἰ. ἀ. σ. 19, 37, 165 - 298). Διὰ τῆς ἀναστάσεως τοῦ φωτὸς τοῦ κόσμου Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ ἡμέρα ἄρχεται καὶ ἀπὸ τοῦ μεσονυκτίου. Διότι νὺξ λογίζεται ἡ ἀνθρωπίνη ζωὴ τοῦ παρόντος αἰῶνος τῆς ἀποστασίας καὶ ἡμέρα ὁ μέλλων αἰὼν τῆς αἰωνίου ζωῆς. Ὁ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν καὶ ἀνέστη ἐν τῇ παρούσῃ κοσμικῇ νυκτί, καὶ θὰ ἔλθῃ τὴν πρωΐαν, ἤτοι κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν, ὡς τὸ ἀληθινὸν καὶ αἰώνιον φῶς τοῦ κόσμου. Διὸ ὁ Ἀπόστολος, καλῶν εἰς μετάνοιαν καὶ τὴν ἐν Χριστῷ σωτηρίαν, λέγει: «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν»[3988] (ἰ. ἀ. σ. 161 - 162).

2. Τὸ εὐλογημένον Δράγμα Κυρίου

Ὁ Ἀδὰμ ἁμαρτήσας ἐγένετο «γῆ»[3989] καὶ ἅπαν τὸ ἐξ αὐτοῦ ἀνθρώπινον γένος. Ὁ δὲ φιλάνθρωπος Θεὸς πρὸς σωτηρίαν τῶν ἀνθρώπων «ἐπὶ τῆς γῆς ὤφθη»[3990]. Ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ «σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[3991], λαβὼν τὴν ἀνθρωπίνην φύσιν «ἀπὸ Μαρίας»[3992] τῆς ἀειπαρθένου καὶ Θεοτόκου. «Ὁ Ἀδὰμ» ἐγένετο «ἀπαρχὴ» τοῦ «ἀρχαιοτέρου φυράματος» τῆς ἀνθρωπότητος ἐν τῇ κατάρᾳ τῆς παραβάσεως, δι' ἣν «εὐθὺς καὶ θανάτῳ καὶ φθορᾷ τὸ ἀνθρώπινον ἐν αὐτῷ κατεδικάζετο γένος». Ὁ δὲ ἀναμάρτητος «Χριστὸς» γέγονεν «ἀπαρχὴ» «τοῦ δευτέρου φυράματος». «Διέδρα (διέφυγε) τὴν ἀρὰν» καὶ «πατήσας τὸν θάνατον»· «κεκαινουργημένος εἰς ἀφθαρσίαν ἀνέβη πρὸς τὸν Πατέρα», ὡς «ἀνάθημα (ἀφιέρωμα) λαμπρὸν» καὶ «ἀπαρχὴ» τῆς σωζομένης «ἀνθρωπότητος»[3993]. Οὕτως ἐν Χριστῷ ἐπληρώθη καὶ ὁ τύπος τοῦ δράγματος τῆς Παλαιᾶς Διαθήκης.

«Ἄρατε πύλας οἱ ἄρχοντες ἡμῶν». Ὁ νόμος προσέταττεν, ὅπως προσφέρηται «τὸ δράγμα» «τῇ ἐπαύ-

3987. Νικοδήμου Ἁγιορείτου, «Πηδάλιον», σ. 298.
3988. Ρωμ. ιγ΄ 12. Κυρίλλου Ἀλεξ., PG. 69, 428.
3989. Γενέσ. γ΄ 19.
3990. Βαρ. γ΄ 38.
3991. Ἰωάν. α΄ 14.
3992. Ἐπιφανίου Κύπρου, PG. 41, 945.
3993. Κυρίλλου Ἀλεξανδρείας, PG. 69, 620 - 621.

ριον τῆς πρώτης» ἡμέρας τῶν Ἀζύμων, «ὅ ἐστι τῇ τρίτῃ»[3994] ἡμέρᾳ τοῦ νομικοῦ Πάσχα, ἤτοι τῇ ἑκκαιδεκάτῃ τοῦ μηνὸς Νισάν (ἰ. ἀ. σ. 171). Ὁ Χριστὸς ἐστι «τὸ εὐλογημένον δράγμα», «ὃ ἐδράξατο ἀπὸ Μαρίας» τῆς Θεοτόκου καὶ προσέφερεν εἰς τὸν Πατέρα, ἀναστὰς τριήμερος «καὶ ἐπὶ τῷ τέλει τῆς Πεντηκοστῆς» εἰσφέρων «αὐτὸ εἰς τὰ ἐπουράνια»[3995]. Ὁ Χριστὸς ὡς «κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν» ἀπέθανε διὰ τοῦ Σταυροῦ τὴν τεσσαρεσκαιδεκάτην Νισὰν καὶ ἀνέστη τριήμερος τὴν ἑκκαιδεκάτην, ἡμέραν Κυριακήν, φέρων «πολὺν καρπόν»[3996]. «Ὡς δράγμα προσάγεται (προσφέρεται)» ὁ ἀναστὰς Κύριος, «τουτέστιν ἐκ πολλῶν ἀσταχύων, δέσμη μία», πρὸς δήλωσιν τοῦ μυστηρίου τῆς σωτηρίας. «Εἷς μὲν γὰρ ἐστιν Ἰησοῦς ὁ Χριστός, πλὴν ὡς ἐν εἴδει δράγματος πολλοστὸς νοεῖται καὶ ἔστι, διὰ τὸ πάντας ἔχειν ἐν ἑαυτῷ τοὺς πιστεύοντας, καθ' ἕνωσιν» «πνευματικήν». Ἐπειδὴ ἐνηνθρώπησε καὶ ἐγένετο «καθ' ἡμᾶς, σύσσωμοι γεγόναμεν (ἔχομεν γίνει) αὐτῷ καὶ τὴν πρὸς αὐτὸν ἑνότητα διὰ τοῦ σώματος» αὐτοῦ «πεπλουτήκαμεν». Καὶ ἐπειδὴ «πάντες ἐσμὲν ἐν αὐτῷ»[3997], ὁ Χριστὸς «συνεζωοποίησεν» ἡμᾶς «καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις»[3998], κατὰ τὸν λόγον αὐτοῦ «πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν, θέλω, ὥσπερ ἐγὼ καὶ σὺ ἓν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν[3999]. Ὡς» «ὁ "κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν"[4000]»[4001]. Ὅτε «ἀνεβίω λοιπὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς» διὰ τῆς τριημέρου ἀναστάσεως «καί, ὡς ἐν τάξει δράγματος, τὴν τῆς ἀνθρωπότητος ἀπαρχὴν προσκεκόμικεν (προσεκόμισεν) ἑαυτὸν τῷ Θεῷ καὶ Πατρί, τότε» καὶ ἔκτοτε «εἰς νέαν» «ζωὴν μεταστοιχειούμεθα. Πολιτευόμεθα γὰρ εὐαγγελικῶς»[4002]. Οὕτω, «πάντων τῶν ἀνθρώπων ἀπολλυμένων κατὰ τὴν παράβασιν τοῦ Ἀδάμ, πρώτη τῶν ἄλλων ἐσώθη καὶ ἠλευθερώθη ἡ ἐκείνου σάρξ», ἤγουν τοῦ Χριστοῦ, «ὡς αὐτοῦ τοῦ Λόγου σῶμα γενομένη»[4003]. Καὶ «ἡμεῖς» «κατ' ἐκεῖνο» τὸ σῶμα τοῦ Χριστοῦ «σωζόμεθα», «σύσσωμοι τυγχάνοντες» αὐτοῦ. Τοιουτοτρόπως «ἡμῶν καὶ ὁδηγὸς ὁ Κύριος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καὶ πρὸς τὸν ἑαυτοῦ Πατέρα γίνεται». Διὸ λέγει, «"ἐγώ εἰμι ἡ ὁδὸς"[4004] καὶ "ἡ θύρα"[4005] καὶ δι' ἐμοῦ δεῖ πάντας εἰσελθεῖν»[4006]. Ὁ Χριστός, «τὸν ὑπὲρ ἡμῶν ἀναδεξάμενος θάνατον καὶ τοῦτον καταργήσας, ἀνέστη πρῶτος

3994. Κυρίλλου Ἀλεξ., PG. 69, 624.
3995. Ἐπιφανίου Κύπρου, PG. 41, 945.
3996. Ἰωάν. ιβ' 24.
3997. Κυρίλλου Ἀλεξ., PG. 69, 624.
3998. Ἐφεσ. β' 5, 6.
3999. Ἰωάν. ιζ' 20 - 24.
4000. 1 Κορινθ. στ' 17.
4001. Κυρίλλου Ἀλεξ. PG. 69, 624.
4002. Κυρίλλου Ἀλεξ., PG. 69, 625.
4003. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 30, 231.
4004. Ἰωάν. ιδ' 6.
4005. Ἰωάν. ι' 7.
4006. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 30, 231.

ὡς ἄνθρωπος, ὑπὲρ ἡμῶν ἀναστήσας τὸ ἑαυτοῦ σῶμα»[4007], γενόμενος «ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν», «κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας»[4008] καὶ πρωτότοκος «ἐν πολλοῖς ἀδελφοῖς»[4009]. Διὸ «τῆς κεφαλῆς ἀναστάσης καὶ ἡμεῖς ἠγέρθημεν» καὶ τῆς «κεφαλῆς καθεζομένης» ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός, «καὶ τὸ σῶμα συγκάθηται»[4010].

Ὁ Χριστὸς ἀναστὰς ἔμεινε «σὺν τοῖς μαθηταῖς τεσσαράκοντα ἡμέρας καὶ ἐπὶ τῷ τέλει τῆς Πεντηκοστῆς»[4011] ἀνελήφθη, ἤτοι τὴν Πέμπτην τῆς ἀναλήψεως. Τότε «ἐξήγαγε» τοὺς μαθητὰς «ἔξω, ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο, ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτούς, διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν»[4012]. «Βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν»[4013]. «Τότε ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος»[4014]. Ἐν ἀλαλαγμῷ τῶν πνευματικῶν δυνάμεων καὶ ἐν φωνῇ σάλπιγγος τῶν αἰνέσεων «τῶν συναναβαινόντων αὐτῷ» ἀγγέλων[4015]. Ἀνελαμβάνετο «ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος μετὰ τῆς ἑνωθείσης αὐτῷ σαρκός», τῶν ἀγγέλων ἐκπληττομένων[4016]. Καὶ τὸ Πνεῦμα[4017] καὶ «οἱ διακονοῦντες τῷ Σωτῆρι ἐπὶ γῆς ἄγγελοι» «ταῖς οὐρανίαις δυνάμεσιν»[4018] ἔλεγον. «Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης»[4019]. Διότι «οὐ πάσαις ἦν ταῖς ἄνω δυνάμεσι φανερὸν τὸ κατὰ Χριστὸν μυστήριον, πλὴν ἐκείναις, αἵτινες πρὸς τὴν τοῦ πράγματος διακονίαν παρελήφθησαν, ὡς ὁ Γαβριὴλ καὶ οἱ ἐν τῇ γεννήσει λέγοντες "δόξα ἐν ὑψίστοις Θεῷ"[4020]»[4021]. Ἐξενίζοντο αἱ ἄνω ἀγγελικαὶ δυνάμεις καὶ διηρωτῶντο. «Τὶς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ (γῆς), ἐρύθημα ἱματίων» ἔχων «ἐκ Βοσόρ (σαρκός), οὕτως ὡραῖος ἐν στολῇ βίᾳ μετὰ ἰσχύος;»[4022]. Ἐδὼμ γῆ ἑρμηνεύεται καὶ Βοσὸρ «σάρξ»[4023]. Τουτέστι, «τὶς ὁ παραγενόμενος» ἐκ «τῶν γηίνων; ἢ πῶς ἐρυθρὰ τὰ ἱμάτια τοῦ ἀναίμου καὶ ἀσωμάτου, ὡς ληνοβάτου καὶ πλήρη ληνὸν πατήσαντος;» Διέλαμπε δὲ «τὸ ὡραῖον τῆς στολῆς τοῦ πεπονθότος σώματος, τῷ πάθει καλλωπισθέντος καὶ τῇ θεότητι λαμπρυνθέντος, ἧς οὐδὲν ἐρασμιώτερον, οὐδὲ ὡραιότερον»[4024]. Καὶ ἠρώτων

4007. Μ. Ἀθανασίου, αὐτόθι.
4008. Κολασ. α' 18.
4009. Ρωμ. η' 29.
4010. Χρυσοστόμου, PG. 62, 32.
4011. Ἐπιφανίου Κύπρου, PG. 41, 945.
4012. Λουκ. κδ' 50 - 51.
4013. Πράξ. α' 9.
4014. Ψαλμ. 46, 6.
4015. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 116 - 117.
4016. Κυρίλλου Ἀλεξ., Μ. 5, 337.
4017. Κυρίλλου Ἀλεξ., PG. 69, 845.
4018. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 76.
4019. Ψαλμ. 23, 7.
4020. Λουκ. α' 26, β' 13 - 14.
4021. Κυρίλλου Ἀλεξ., PG. 69, 845.
4022. Ἡσ. ξγ' 1.
4023. Κυρίλλου Ἀλεξ., Μ. 5, 337.
4024. Γρηγορ. Θεολόγου, PG. 36, 657.

«αἱ ἄνω δυνάμεις» «ἐκπληττόμεναι» διὰ «τὸ παράδοξον τῆς οἰκονομίας»[4025]. «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;» Καὶ ἤκουον. «Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ»[4026]. «Κύριος τῶν δυνάμεων, αὐτὸς ἐστιν ὁ βασιλεὺς τῆς δόξης»[4027]. «Μυσταγωγοῦσι τοὺς ἄνω οἱ σὺν αὐτῷ ἀνελθόντες ἄγγελοι τὸ μυστήριον, ὅτι ὁ καταπατήσας τοὺς ἐχθροὺς τοὺς νοητούς», «αὐτὸς ἐστιν ὁ τῶν δυνάμεων Κύριος»[4028]. Βλέποντες δὲ αὐτὸν «κατάστικτον τοῖς μώλωψι καὶ πανσθενουργόν»[4029], ἠρώτων οἱ ἄνω ἄγγελοι τὸν Χριστόν, «οὔπω συνέντες (μὴ ἐννοήσαντες εἰσέτι)» τὸ μέγα «μυστήριον»[4030] τῆς ἐν Χριστῷ σωτηρίας τοῦ ἀνθρωπίνου γένους. «Διατί σου ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;»[4031]. Ἔνδοξα εἶναι τὰ μυστήρια τοῦ Σταυροῦ τοῦ Κυρίου, «εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακῦψαι»[4032].

Οὕτως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς «ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ»[4033]. Διὸ λέγει ὁ Θεὸς Πατήρ· «κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»[4034]. «Τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον», λέγει ἐνταῦθα ἡ Γραφή. Ἐχθροὺς δὲ τὰς δαιμονικὰς δυνάμεις καὶ τὸν θάνατον. «Ὅταν» ὁ Χριστὸς «καταργήσῃ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας, "ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος"[4035]»[4036], διὰ τῆς ἀναστάσεως τῶν νεκρῶν κατὰ τὴν δευτέραν παρουσίαν. «Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν», εἶπον οἱ ἄγγελοι πρὸς τοὺς Ἀποστόλους, «οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν»[4037]. Ἤτοι «μετὰ τοῦ σώματος»[4038], «ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς»[4039], καὶ «ὥσπερ» «ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν»[4040]. «Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη»[4041] «κρῖναι ζῶντας καὶ νεκρούς»[4042]. Τὸ δὲ «ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου», ὡς καὶ τὸ «δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ

4025. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 76.
4026. Ψαλμ. 23, 8.
4027. Ψαλμ. 23, 10.
4028. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 76.
4029. Ὄρθρου Μ. Σαββάτου.
4030. Κυρίλλου Ἀλεξ., PG. 74, 729.
4031. Ἡσ. ξγ' 2.
4032. 1 Πέτρ. α' 12.
4033. Μάρκ. ιστ' 19.
4034. Ψαλμ. 109, 1.
4035. Ἐφεσ. στ' 12, 1 Κορινθ. ιε' 26.
4036. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 251.
4037. Πράξ. α' 11.
4038. Χρυσοστόμου, PG. 60, 29.
4039. Ματθ. κδ' 30.
4040. Ματθ. κδ' 27.
4041. Ματθ. κε' 31.
4042. Συμβόλου τῆς Πίστεως.

ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ»[4043], δὲν δηλοῦσι χρόνον. «Οὔτε ἐκεῖ τὸ "ἕως", οὔτε ἐνταῦθα τὸ "μέχρις" χρόνων ὅροι εἰσίν»[4044], καθ' ὅτι «τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»[4045]. Ὡς ὁ Πατὴρ βασιλεύει εἰς τοὺς αἰῶνας, οὕτω καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. «Κοινὰ γὰρ τὰ κατορθώματα» τῶν προσώπων τῆς Ἁγίας Τριάδος, «ὥσπερ καὶ πάντα τὰ ἔργα κοινά»[4046]. Τὸ αὐτὸ ἔχει νόημα καὶ τὸ «ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν»[4047]. Κατὰ «τὸν τῆς οἰκονομίας (ἐνανθρωπήσεως)» «λόγον» λέγονται ταῦτα[4048]. «Τοῦτο γὰρ ἡ ὑποταγὴ Χριστοῦ», «ἡ τοῦ πατρικοῦ θελήματος πλήρωσις», ὃ ἐστι θέλημα κοινὸν καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[4049]. «Θέλημα δὲ Θεοῦ ἡ σωτηρία τῶν ἀνθρώπων ἐστίν»[4050]. Ἡ δὲ ὑποταγὴ «οὐχὶ δουλικὴ νοεῖται ταπεινότης, ἀλλὰ βασιλεία καὶ ἀφθαρσία καὶ μακαριότης». Ἐπειδὴ ὁ Χριστὸς ἐνανθρωπήσας ἡνώθη ἡμῖν πρὸς σωτηρίαν καὶ βασιλείαν αἰώνιον διὰ τῆς ὑποταγῆς, «ἐν τῇ πάντων ἡμῶν ὑποταγῇ» «ὁ ἐν ἡμῖν ζῶν ὑποταγήσεται τῷ Θεῷ παρὰ τοῦ Παύλου λέγεται», «πάντων» «τῶν ποτε ἐχθρῶν ὑποπόδιον τῶν ποδῶν τοῦ Θεοῦ γενομένων», «τοῦ θανάτου καταργηθέντος» καὶ «πάντων ἡμῶν» ζώντων ἐν «ὑποταγῇ» μακαρίου βασιλείας[4051]. Διότι «ἀγαθῶν» «πάντων κεφάλαιον ἡ πρὸς τὸν Θεὸν ἐστιν ὑποταγή»[4052]. Τότε «ὁ Θεός», ἡ ζωὴ ἡμῶν, γενήσεται «τὰ πάντα ἐν πᾶσιν», «ἵνα ἅπαντα εἰς αὐτὸν ἀνηρτημένα ᾖ»[4053]. Ὁ δὲ Θεὸς Πατὴρ ἐστιν «ἀρχὴ πάντων τῶν ἀγαθῶν καὶ αἰτία πρώτη, ὁ τὸν τοσαῦτα δυνάμενον καὶ κατορθοῦντα γεγεννηκὼς» Υἱόν[4054].

«Δεξιὰν δὲ τοῦ Πατρὸς λέγομεν τὴν δόξαν καὶ τὴν τιμὴν τῆς θεότητος, ἐν ᾗ ὁ τοῦ Θεοῦ Υἱός, πρὸ αἰώνων ὑπάρχων ὡς Θεὸς καὶ τῷ Πατρὶ ὁμοούσιος, ἐπ' ἐσχάτων σαρκωθεὶς καὶ σωματικῶς κάθηται, συνδοξασθείσης τῆς σαρκὸς αὐτοῦ· προσκυνεῖται γὰρ μιᾷ προσκυνήσει μετὰ τῆς σαρκὸς αὐτοῦ ὑπὸ πάσης τῆς κτίσεως»[4055]. Ὁ Χριστὸς σαρκωθεὶς παραμένει Θεὸς καὶ ἄνθρωπος εἰς τοὺς αἰῶνας. Καὶ ἀναστὰς καὶ ἀναληφθείς, «μετὰ τοῦ σώματός ἐστιν, οὗ προσέλαβε»[4056]. Σὰρξ ὅμως γηΐνη, ἤτοι μετὰ τῶν ἀδιαβλήτων παθῶν αὐτῆς, «ἐν μό-

4043. Ἑβρ. α' 13, 1 Κορινθ. ιε' 25.
4044. Χρυσοστόμου, PG. 55, 268.
4045. Λουκ. α' 33.
4046. Χρυσοστόμου, PG. 55, 268.
4047. 1 Κορινθ. ιε' 28.
4048. Χρυσοστόμου, PG. 61, 338.
4049. Γρηγορ. Θεολόγου, PG. 36, 109.
4050. Γρηγορ. Νύσσης, PG. 44, 1164.
4051. Γρηγορ. Νύσσης, PG. 44, 1325.
4052. Γρηγορ. Νύσσης, PG. 44, 1321.
4053. Χρυσοστόμου, PG. 61, 341.
4054. Χρυσοστόμου, PG. 61, 340.
4055. Ἰ. Δαμασκηνοῦ, PG. 94, 1104.
4056. Γρηγορ. Θεολόγου, PG. 36, 121.

νῳ τῷ τῆς οἰκονομίας καιρῷ» διετέλεσεν, ὡς λέγει ὁ Ἀπόστολος[4057]· «εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν»[4058]. «Τὸ δὲ μὴ κατὰ σάρκα» σημαίνει «τὸ καὶ τούτων» τῶν ἀδιαβλήτων παθῶν τῆς γηΐνης σαρκὸς«ἀπηλλάχθαι(ὅτι ἔχει ἀπαλλαγῆ) λοιπόν, οὐ τὸ ἐκτὸς σαρκὸς εἶναι»[4059]. Ἡ «ἀνθρωπίνη φύσις ἐν Χριστῷ πρὸς τὸ κρεῖττον κέχρηται τῇ τροπῇ, ἀπὸ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον ἀλλοιωθεῖσα, ἀπὸ τοῦ ἐπικήρου πρὸς τὸ ἀκήρατον, ἀπὸ τοῦ ὀλιγοχρονίου πρὸς τὸ ἀΐδιον, ἀπὸ τοῦ σωματικοῦ καὶ κατεσχηματισμένου πρὸς τὸ ἀσώματόν τε καὶ ἀσχημάτιστον»[4060]. «Ὥσπερ» «ὡς ἄνθρωπος ὁ Χριστὸς ἀπέθανε καὶ ὑψώθη, οὕτως ὡς ἄνθρωπος λέγεται λαμβάνειν (ὅτι λαμβάνει), ὅπερ εἶχεν ἀεὶ ὡς Θεός», ἤτοι τὴν θείαν δόξαν, «ἵνα εἰς ἡμᾶς φθάσῃ καὶ ἡ τοιαύτη δοθεῖσα Χάρις»[4061]. «Ἐκάθισεν γὰρ ἡμᾶς ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός[4062],ὡς ὁ θεῖος Παῦλος βοᾷ»[4063]. Ἀναληφθεὶς ὁ Χριστὸς «πρεσβεύει» «ἔτι καὶ νῦν ὡς ἄνθρωπος ὑπὲρ τῆς ἐμῆς σωτηρίας», λέγει Γρηγόριος ὁ Θεολόγος, «ὅτι μετὰ τοῦ σώματός ἐστιν, οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσῃ θεὸν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως»[4064]. «Διὰ τοῦτο οὖν, Θεὸς ὤν, ἄνθρωπος γέγονεν, ἵνα καὶ ἄνθρωπος γένηται θεός, τῇ συναφείᾳ ταύτῃ πρὸς θεϊκὴν δόξαν ἀναγόμενος»[4065]. Οὕτως ἡ ματαιωθεῖσα ὁμοίωσις τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν λόγῳ τῆς παραβάσεως κατορθοῦται νῦν διὰ τῆς ἐν Χριστῷ σωτηρίας. Τοιουτοτρόπως πληροῦνται οἱ τύποι τοῦ μετατεθέντος Ἐνώχ[4066], τοῦ ἀναληφθέντος Ἠλιοὺ[4067], τοῦ προσφερομένου δράγματος τὴν ἑκκαιδεκάτην Νισάν, ἀλλὰ καὶ τῆς προσφορᾶς τῶν πρωτογεννημάτων ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς, ὡς τῶν δύο ἄρτων (ἰ. ἀ. σ. 171 - 172). Διότι «καὶ ἄρτος ἐστὶ ζωοποιὸς»[4068] ὁ Χριστός, ὡς μαρτυρεῖ ὁ θεῖος θερισμὸς τῆς νέας Πεντηκοστῆς.

«Ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί». Τὴν ἡμέραν προσφορᾶς τοῦ δράγματος ἀνέστη ὁ Χριστός. Καὶ μετὰ τὴν συμπλήρωσιν ἑπτὰ ἑβδομάδων, ἤτοι τὴν Πεντηκοστήν, «ὅτε» «ἔδει» «τὸ δρέπανον ἐπιβάλλειν» καὶ «τοὺς καρποὺς συνάγειν»[4069], ὁ Θεὸς προσφέρει «σωτηρίαν ἑτοίμην»[4070] «παντὶ τῷ πιστεύοντι»[4071]. Τότε καταπέ-

4057. Γρηγορ. Νύσσης, PG. 45, 1253.
4058. 2 Κορινθ. ε' 16.
4059. Χρυσοστόμου, PG. 61, 475.
4060. Γρηγορ. Νύσσης, PG. 45, 1253.
4061. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 30, 157.
4062. Ἐφεσ. β' 6.
4063. Μ. Φωτίου, PG. 101, 1045.
4064. Γρηγορ. Θεολόγου, PG. 36, 121.
4065. Θεοδότου Ἀγκύρας, Μ. 5, 192.
4066. Γενέσ. ε' 24.
4067. 4 Βασιλ. β' 11.
4068. Κυρίλλου Ἀλεξ. PG. 69, 621.
4069. Χρυσοστόμου, PG. 60, 41.
4070. 1 Πέτρ. α' 5.
4071. Ρωμ. α' 16.

μπει τὸ Πνεῦμα τὸ Ἅγιον «καθάπερ δρέπανον» «ἠκονημένον», καὶ ἐπιβάλλει «τὸ δρέπανον» «τοῦ λόγου»[4072] διὰ τῶν θεοπνεύστων Ἀποστόλων, ἄρχεται ὁ θεῖος θερισμὸς καὶ συλλέγεται ἐκ τῆς γῆς τὸ δράγμα τῶν πιστῶν εἰς ζωὴν αἰώνιον. Διότι «ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθησέ τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι»[4073]. «Καὶ πάντες ἤρξαντο φθέγγεσθαι ξένοις ρήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς Ἁγίας Τριάδος». Τότε ἐνήργησε σωτηρίως «τὸ Πνεῦμα τὸ Ἅγιον», τὸ ὁποῖον εἶναι «φῶς καὶ ζωὴ καὶ ζῶσα πηγὴ νοερά. Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως· ἀγαθόν, εὐθές, νοερόν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς καὶ θεοποιοῦν· πῦρ ἐκ πυρὸς προϊόν, λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα». «Παράδοξα» τότε «εἶδον τὰ ἔθνη πάντα ἐν πόλει Δαυΐδ»[4074]. «Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους», «πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν», «τὰ μεγαλεῖα τοῦ Θεοῦ;»[4075]. Ὁ Θεός, «ὅτε καταβὰς» ἐπὶ πυργοποιΐας «τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος». Καὶ ἐν τῇ Πεντηκοστῇ, «ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα» τοῦ ἐν Τριάδι Θεοῦ «πάντας ἐκάλεσεν»[4076]. Ἤτοι εἰς τὸ ἓν πνευματικὸν ἔθνος, τὴν Ὀρθόδοξον Ἐκκλησίαν[4077], ἐν ᾗ τὰ ἄλλα ἔθνη δὲν ἀφανίζονται, ἀλλὰ ἁγιάζονται καὶ δοξάζονται. Διό, μετὰ τὴν δημηγορίαν τοῦ Ἀποστόλου Πέτρου, οἱ «ἀκούσαντες» ἐνθέως «κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους· τί ποιήσομεν, ἄνδρες ἀδελφοί; Πέτρος δὲ ἔφη πρὸς αὐτούς· μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος»[4078]. «Οἱ μὲν οὖν, ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι»[4079].

Τρισχίλιαι αἱ πρῶται ἀναγεννηθεῖσαι ψυχαὶ ἐξ ὕδατος καὶ Πνεύματος. Τρίτην ὥραν[4080] κατῆλθεν ἐπὶ τοὺς μαθητὰς τὸ Πνεῦμα τὸ

4072. Χρυσοστόμου, PG. 60, 41.
4073. Πράξ. β´ 1 - 4.
4074. Ὄρθρου Πεντηκοστῆς.
4075. Πράξ. β´ 7, 8, 11.
4076. Ὄρθρου Πεντηκοστῆς.
4077. Χρυσοστόμου, PG. 58, 647 - 648.
4078. Πράξ. β´ 37 - 38.
4079. Πράξ. β´ 41.
4080. Πράξ. β´ 15.

Ἅγιον. Καὶ «τῇ ἡμέρᾳ τῇ τρίτῃ» κατέβη ὁ Θεὸς ἐπὶ «τὸ ὄρος τὸ Σινά»[4081] τὴν πεντηκοστὴν ἡμέραν ἀπὸ τῆς ἐξόδου ἐκ γῆς Αἰγύπτου, ὅπερ τύπος ἐστὶ τῆς νῦν καινῆς Πεντηκοστῆς (ἰ. ἀ. σ. 146 - 150). Ὄρος ἐκεῖ, τὸ ὄρος Σινά. Ὄρος καὶ ἐνταῦθα, τὸ ὄρος Σιών, ἀμφότερα δὲ δηλοῦσι τὴν Ἐκκλησίαν (ἰ. ἀ. σ. 148, 179). Ὁ Θεὸς κατέβη ἐπὶ τὸ ὄρος Σινὰ καὶ ἀπεκαλύφθη εἰς τοὺς τότε υἱοὺς Ἰσραήλ. Ὁ αὐτὸς ἐν Τριάδι Θεὸς κατέβη καὶ ἐπὶ τὸ ὄρος Σιὼν καὶ ἀπεκαλύφθη εἰς τὸν νέον Ἰσραὴλ τῆς Χάριτος. Ἐκεῖ καπνὸς καὶ γνόφος. Ἐνταῦθα τηλαυγὴς φανέρωσις τοῦ μυστηρίου τῆς τρισηλίου Θεότητος. Ἐκεῖ νεφέλη γνοφώδης. Ἐνταῦθα ἡ παρουσία τοῦ Ἁγίου Πνεύματος διαλάμπουσα. Ἐκεῖ φωναί, ἐνταῦθα «ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας»[4082] θείας Χάριτος ἀναγεννώσης. Ἐκεῖ πῦρ, ἐνταῦθα «γλῶσσαι ὡσεὶ πυρὸς»[4083] καθάρσεως Πνεύματος Ἁγίου. Ἐκεῖ «φωναὶ» σάλπιγγος «προβαίνουσαι ἰσχυρότεραι σφόδρα»[4084]. Ἐνταῦθα οἱ ἅγιοι Ἀπόστολοι κηρύττουσιν ἐν Πνεύματι τὴν ἐν Χριστῷ σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς, ἀρξάμενοι ἀπὸ Ἱερουσαλήμ. Ἐκεῖ ἀστραπαί, ἐνταῦθα οἱ ἅγιοι Ἀπόστολοι καὶ Εὐαγγελισταὶ καταλάμπουσι τὴν οἰκουμένην διὰ τοῦ θείου φωτὸς τῆς ἀποκαλύψεως «τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ»[4085]. Ἐκεῖ ὁ Μωυσῆς «ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους»[4086]. Ἐνταῦθα «κεφαλὴ τῆς Ἐκκλησίας» «Χριστός», ὃς «ἐστὶ σωτὴρ τοῦ σώματος» «τῆς Ἐκκλησίας»[4087]. Ἐκεῖ καθαρότης ἱματίων. Ἐνταῦθα καθαρότης ψυχῶν βεβαπτισμένων «ἐν Πνεύματι Ἁγίῳ καὶ πυρὶ»[4088] «εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[4089].

ιβ΄) Η ΟΓΔΟΗ ΗΜΕΡΑ

Τὸ Σάββατον ἀριθμεῖται ἑβδόμη ἡμέρα τῆς ἑβδομάδος. Μετὰ τὴν ἑβδόμην ταύτην ἡμέραν ἀκολουθεῖ ἡ πρώτη ἡμέρα τῆς ἑβδομάδος, τὴν ὁποίαν οἱ θεοδίδακτοι υἱοὶ Ἰσραὴλ ἀκάλουν «μίαν σαββάτων»[4090] καὶ οἱ ἐθνικοὶ «τοῦ ἡλίου ἡμέραν»[4091]. Ὁ θεῖος λόγος ἀποκαλεῖ ταύτην καὶ ὀγδόην ἡμέραν, ἣν δέχεται ὡς τύπον τῆς Κυριακῆς τῆς ἀναστάσεως τοῦ Κυρίου, τῆς ἐν τῷ παρόντι καινῆς ἐν Χριστῷ ζωῆς, καὶ τῆς ζωῆς τοῦ μέλλοντος αἰῶνος.

4081. Ἐξόδ. ιθ΄ 16, 20.
4082. Πράξ. β΄ 2.
4083. Πράξ. β΄ 3.
4084. Ἐξόδ. ιθ΄ 19.
4085. Μάρκ. α΄ 1.
4086. Ἐξόδ. ιθ΄ 20.
4087. Ἐφεσ. ε΄ 23.
4088. Ματθ. γ΄ 11.
4089. Ματθ. κη΄ 19.
4090. Ματθ. κη΄ 1.
4091. Ἰουστίνου Μάρτυρος, ΒΕΠΕΣ, 3, 198.

Ἡ ὀγδόη τοῦ μέλλοντος αἰῶνος. Ἡ ζωὴ «τοῦ μέλλοντος αἰῶνος»[4092] λέγεται καὶ ὀγδόη ἡμέρα, ὡς ἐρχομένη μετὰ τὸν παρόντα αἰῶνα τῆς ἑβδόμης ἡμέρας, ἢ τὸν ἑβδοματικὸν χρόνον τῆς ἐπιγείου ζωῆς (ἰ. ἀ. σ. 20-21, 48-49, 222, 350). Περὶ τῆς ὀγδόης ταύτης ὁμιλεῖ καὶ «ὁ ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν»[4093], ὡς π.χ. «εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ»[4094]. «Ὀγδόην» τὴν ἡμέραν ταύτην «προσηγόρευσεν (ὠνόμασεν)» ὁ προφήτης, διὰ τὸ ὅτι ἔξω κεῖται «τοῦ ἑβδοματικοῦ τούτου χρόνου» τοῦ παρόντος αἰῶνος[4095]. Δηλαδή, «τοῦ ἑβδοματικοῦ παυσαμένου χρόνου, ἐνστήσεται (θὰ ἀρχίσῃ) ἡμέρα ὀγδόη, μετὰ τὴν ἑβδόμην» τοῦ παρόντος βίου[4096]. Οὕτως ἡ ὀγδόη «πέρας τε τοῦ ἐνεστῶτος χρόνου γίνεται καὶ ἀρχὴ τοῦ μέλλοντος αἰῶνος»[4097]. Ὀγδόη «ἐστὶν ὁ ἐφεξῆς αἰών, ὅλος μία ἡμέρα γενόμενος»[4098], ἐπειδὴ «ἀνέσπερον καὶ ἀδιάδοχον καὶ ἀτελεύτητον τὴν ἡμέραν ἐκείνην οἶδεν (γνωρίζει)» ὁ θεῖος «λόγος»[4099]. «Μία γὰρ εἰς τὸ διηνεκὲς παραμένει» ἡ ὀγδόη ἡμέρα[4100]. Ταύτην «τὴν ἄπαυστον ἡμέραν», τὴν μέλλουσαν «κατάστασιν», «τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω (ἄνευ γήρατος καὶ θανάτου) αἰῶνα»[4101], ἡμέραν μεγάλην καὶ ἐπιφανῆ καλεῖ ὁ προφήτης. Ἡ «ἡμέρα γὰρ Κυρίου, φησί, μεγάλη καὶ ἐπιφανής[4102]»[4103].

Τὴν ὀγδόην ταύτην ἡμέραν θὰ γίνῃ ἡ «ἀπὸ τοῦ τάφου» ἀναχώρησις τῶν σωμάτων τῶν ἀνθρώπων ἡ καθολικὴ ἀνάστασις τῶν νεκρῶν[4104] καὶ ἡ γενικὴ κρίσις. Διὸ «ὀγδόη λέγεται ἡμέρα ὁ αἰὼν ὁ τῆς κρίσεως»[4105]. «Ἐν ταύτῃ» «ἡ δικαία τοῦ Θεοῦ γίνεται κρίσις, ἑκάστῳ τὸ κατ' ἀξίαν νέμουσα»[4106]. Τότε «ἀπελεύσονται» οἱ μὲν κατακεκριμένοι «εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον»[4107]. «Ἴδιον δὲ τῆς ὀγδόης» ἐστίν, ὅτι ἐν αὐτῇ δὲν δίδεται καιρὸς παρασκευῆς «ἀγαθῶν ἢ κακῶν», ἀλλὰ ἀνταπόδοσις κατὰ τὰ ἔργα τῆς παρούσης ζωῆς[4108]. Ὁ «ἁμαρτωλὸς ἑπτάκις, ὁ καθ' ὑπερβολὴν» ἁμαρτωλὸς «ἑβδομηκοντάκις ἑπτὰ ἐκδικηθήσεται. Ὁ δίκαιος ἑπτάκις τιμηθήσεται, ὁ καθ' ὑπερβολὴν δίκαιος ἑβδομηκοντάκις ἑπτά»[4109] (ἰ. ἀ. σ. 48). Διὸ ὁ Θεὸς ἐνταῦθα «νομοθετεῖ τὴν μετάνοιαν», «ὡς ἐν τῷ ᾅδῃ τῆς τοιαύτης

4092. Συμβόλου τῆς Πίστεως.
4093. Μ. Βασιλείου, PG. 32, 192.
4094. Ψαλμ. 6, 1.
4095. Μ. Βασιλείου, ΒΕΠΕΣ, 51, 204.
4096. Γρηγορ. Νύσσης, PG. 44, 609.
4097. Γρηγορ. Νύσσης, PG. 44, 548.
4098. Γρηγορ. Νύσσης, PG. 44, 505.
4099. Μ. Βασιλείου, ΒΕΠΕΣ, 51, 204.
4100. Γρηγορ. Νύσσης, PG. 44, 612.
4101. Μ. Βασιλείου, PG. 32, 192.
4102. Ἰωήλ. β' 11, Πράξ. β' 20.
4103. Μ. Βασιλείου, ΒΕΠΕΣ, 51, 204.
4104. Ἀναστασίου Σιν. PG. 89, 369.
4105. Γρηγορ. Νύσσης, PG. 44, 288.
4106. Γρηγορ. Νύσσης, PG. 44, 612.
4107. Ματθ. κε' 46.
4108. Γρηγορ. Νύσσης, PG. 44, 548.
4109. Γρηγορ. Νύσσης, PG. 44, 288.

σπουδῆς ἀπρακτούσης»[4110]. Ἐνταῦθα «ροώδης (ρέουσα)» «καὶ παροδικὴ τῆς ἀνθρωπίνης ζωῆς ἐστιν ἡ σύστασις»[4111], διὸ μεταβάλλεται ὁ ἄνθρωπος καὶ εἶναι δεκτικὸς ἀλλοιώσεως, μετανοίας καὶ σωτηρίας. Ἀλλὰ κατὰ τὸν μέλλοντα αἰῶνα, «παυσαμένης» τότε «τῆς ροώδους κινήσεως», θὰ ἔλθωσι «τὰ μηκέτι σαλευόμενα, ὧν μεταβολὴ καὶ ἀλλοίωσις οὐκέτι ἅπτεται, ἐν τοῖς αὐτοῖς ὡσαύτως ἀεὶ πρὸς τοὺς ἐφεξῆς αἰῶνας διαμενούσης ἐκείνης τῆς κτίσεως»[4112]. Τὴν ὀγδόην ἡμέραν «οὐκέτι θυσία ἢ λατρεία ὑπὲρ ἁμαρτιῶν προσφέρεται τῷ Θεῷ»[4113], ἀλλὰ κρατεῖ «φοβερὰ» «τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους»[4114]. Διὸ ὁ νόμος περὶ τῆς ὀγδόης τῶν ἑορτῶν τῆς Παλαιᾶς ὥριζε, «πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε» ἐν αὐτῇ, ἤγουν λατρείας καὶ θυσίας «ὑπὲρ ἁμαρτιῶν ἀφέσεως»[4115] (ἴ. ἀ. σ. 12, 175).

Τὴν ἄληκτον ἐκείνην ὀγδόην ἡμέραν αἰώνιος θὰ εἶναι καὶ ἡ θεία δόξα καὶ μακαριότης τῶν δικαίων ἐν Χριστῷ. Τότε ὁ Θεὸς θὰ ποιήσῃ τὰ «πάντα» «καινά»[4116], «οὐρανὸν καινὸν καὶ γῆν καινήν»[4117], «ἐν οἷς δικαιοσύνη (ἀρετὴ) κατοικεῖ»[4118]. Τότε θὰ ἀποκαλύψῃ Κύριος «τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινήν», ἤτοι τὴν Ἐκκλησίαν, «καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ, ἡτοιμασμένην ὡς νύμφην, κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς» Χριστῷ[4119] καὶ κληρονομοῦσαν «αἰώνιον βασιλείαν»[4120]. «Κληρονομοῦσά ἐστιν» «ἡ Ἐκκλησία»[4121] καὶ λαμβάνει, «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη»[4122]. Ἐν ταύτῃ «τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν» «οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος»[4123] καὶ ἄρρητος εἶναι «ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας»[4124] καὶ τῆς μακαριότητος τῆς αἰωνίου ζωῆς. Νῦν, λέγει ὁ Ἀπόστολος, «ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ»[4125]. Τότε «ὅμοιοι αὐτῷ ἐσόμεθα καὶ ὀψόμεθα αὐτόν, καθὼς ἐστι»[4126]. «Περιπόθητος» δὲ ἐστι «τοῖς ἁγίοις ἡ τοῦ Χριστοῦ παρουσία»[4127]. Διό, προσευχόμενοι ἀδιακόπως πρὸς τὸν Θεόν, θεοφρόνως λέγουσιν· «ἐλθέτω ἡ βασιλεία σου»[4128].

4110. Γρηγορ. Νύσσης, PG. 44, 548.
4111. Γρηγορ. Νύσσης, PG. 44, 1168.
4112. Γρηγορ. Νύσσης, PG. 44, 609.
4113. Ἀναστασίου Σιν. PG. 89, 368.
4114. Ἑβρ. ι' 27.
4115. Ἀναστασίου Σιν. PG. 89, 369.
4116. Ἀποκαλύψ. κα' 5.
4117. Ἀποκαλύψ. κα' 1.
4118. 2 Πέτρ. γ' 13.
4119. Ἀποκαλύψ. κα' 2.
4120. 2 Πέτρ. α' 11.
4121. Μ. Ἀθανασίου, ΒΕΠΕΣ, 32, 40.
4122. 1 Κορινθ. 2, 9.
4123. Ματθ. ιγ' 43.
4124. Ἐφεσ. α' 18.
4125. Κολασ. γ' 3 - 4.
4126. 1 Ἰωάν. γ' 2.
4127. Ἀνδρέου Καισ., PG. 106, 453.
4128. Ματθ. στ' 10.

«Καὶ τὸ Πνεῦμα καὶ ἡ νύμφη» Ἐκκλησία «λέγουσιν· ἔρχου»[4129]. Καὶ ὁ Κύριος λέγει· «ναὶ ἔρχομαι ταχύ»[4130].

Ἡ ὀγδόη τῆς ἐν Χριστῷ ζωῆς. «Ὀγδόην» ὅμως «ἡ Γραφὴ» ὀνομάζει καὶ «τὴν κατὰ τὴν ἑβδόμην τοῦ παρόντος αἰῶνος ζωὴν καὶ διαγωγήν»[4131], ἥτις οὐ «πρὸς τὸν παρόντα» βλέπει «χρόνον», ἀλλὰ πρὸς «τὴν ἐλπιζομένην». «ζωὴν» τῆς ἀληθινῆς ὀγδόης ἡμέρας[4132]. Τὴν ὀγδόην ἐκείνην ἡμέραν θὰ γίνῃ «ἡ ἀληθινὴ περιτομὴ τῆς ἀνθρωπίνης φύσεως» διὰ τῆς ἀναστάσεως «καὶ τὸ ἀληθινὸν καθάρσιον τοῦ ἀληθινοῦ ῥύπου. Ῥύπος δὲ ἀνθρώπου» ἐστὶν «ἡ ἁμαρτία»[4133]. «Καὶ οὕτω δεχόμεθα τὸν περὶ τῆς ὀγδόης νόμον» τῆς περιτομῆς, «τὸν καθαίροντά τε καὶ περιτέμνοντα»[4134]. Λέγει γὰρ ἡ Παλαιά· «καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται»[4135] (ἰ. ἀ. σ. 98 - 99). «Ὁ τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος» Χριστὸς «τότε», τὸν καιρὸν τῆς ὀγδόης, «εἰς τὸ πᾶν ἐκκαθαίρει (καθαρίζει ἐντελῶς)» ἀπὸ τοῦ ῥύπου τῆς ἁμαρτίας, ἥτις νῦν, μετὰ τὸ προπατορικὸν ἁμάρτημα, «συναποτικτομένη τῇ ἀνθρωπίνῃ φύσει» ὑπάρχει, κατὰ τὸ «ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου[4136]»[4137]. Ἡ κάθαρσις ὅμως ἀπὸ τῆς ἁμαρτίας ἄρχεται καὶ συντελεῖται ἀπὸ τῆς παρούσης ζωῆς, διὰ τῆς περιτομῆς «καρδίας ἐν πνεύματι»[4138] καὶ «διὰ τῆς τεμνούσης τὸ ἀκάθαρτον πέτρας», «ἥτις ἐστὶν ὁ Χριστός, τουτέστι τῆς ἀληθείας ὁ λόγος»[4139]. Ἐν πίστει καὶ Χάριτι καὶ τῇ τῆς Ἐκκλησίας πολιτείᾳ, γίνεται ἡ ἀπαρχὴ «τῆς αἰωνίου» «βιοτῆς»[4140], ἥτις ποιεῖ ἀπὸ τοῦ νῦν τὴν ὀγδόην «ἄλλου κόσμου ἀρχήν»[4141].

Οὕτως ἐν Χριστῷ κόσμος πλάττεται νέος. Οὐρανὸς καινός, ἤτοι «τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως», ἥτις φωταγωγεῖ πᾶσαν τὴν κτίσιν. Καὶ γῆ καινή, ἤγουν ἡ ἀγαθὴ καρδία, ἡ πίνουσα «τὸν ἐπ᾽ αὐτῇ ἐρχόμενον ὑετὸν (βροχὴν)» τοῦ θείου λόγου καὶ ἁδρύνουσα (ὡριμάζουσα) «τὸν πολύχουν (πολύκαρπον) στάχυν» τῶν καλῶν ἐν Χριστῷ ἔργων. Καὶ θάλασσα καινή, δηλαδὴ «τὸ βάθος» τοῦ ἀποκαλυπτομένου «πλούτου τῆς σοφίας τε καὶ γνώσεως» τοῦ Χριστοῦ. Προσέτι, «πόαι (χόρτα) καὶ βλαστήματα (ἄλλα φυτά)» εἶναι «ἡ ἀγαθὴ διδασκαλία καὶ τὰ θεῖα δόγματα, ἅπερ ὁ λαὸς τῆς νομῆς, τουτέστιν

4129. Ἀποκαλύψ. κβ´ 17.
4130. Ἀποκαλύψ. κβ´ 20.
4131. Ἀναστασίου Σιν., PG. 89, 1080.
4132. Γρηγορ. Νύσσης, PG. 44, 504, 505.
4133. Γρηγορ. Νύσσης, PG. 44, 609.
4134. Γρηγορ. Νύσσης, αὐτόθι.
4135. Γενέσ. ιζ´ 12.
4136. Ψαλμ. 50, 7.
4137. Γρηγορ. Νύσσης, PG. 44, 609.
4138. Ρωμ. β´ 29.
4139. Γρηγορ. Νύσσης, PG. 44, 609.
4140. Ἰ. Δαμασκηνοῦ, PG. 96, 841.
4141. Βαρνάβα, ΒΕΠΕΣ, 2, 240.

ἡ ποίμνη τοῦ Θεοῦ ἐπινέμεται (βόσκει)». «Δένδρα δέ, ποιοῦντα καρπὸν» καλόν, εἶναι «ἡ τῶν» θείων «ἐντολῶν ἐργασία». «Ἐν ταύτῃ τῇ κτίσει, ἥλιος μὲν ἐστιν ὁ καθαρὸς βίος» τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, «ἄστρα δὲ αἱ ἀρεταί, ἀὴρ δὲ ἡ διαφανὴς πολιτεία»[4142]. Καὶ «ἄνθρωπος, πλάσσεται ἄλλος»[4143] καὶ «κτίζεται ὁ ἀληθινὸς ἄνθρωπος, ὁ κατ' εἰκόνα γενόμενος Θεοῦ καὶ ὁμοίωσιν»[4144], «ὁ διὰ τῆς ἄνωθεν γεννήσεως ἀνακαινιζόμενος». «Κόσμου γὰρ κτίσις ἐστὶν ἡ τῆς Ἐκκλησίας κατασκευή». Ἐν ταύτῃ «φωστήρων φύσις ἑτέρα γίνεται», περὶ ὧν λέγει ὁ Κύριος «ὅτι "ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου"[4145]» καὶ ὁ Ἀπόστολος «"ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ"[4146]». «Καὶ ἀστέρες» πάλιν «πολλοί, οἱ ἐν τῷ στερεώματι τῆς πίστεως ἀνατέλλοντες». «Καὶ πολλοὶ ἥλιοι κτίζονται», διὰ τῶν ἀκτίνων «τῶν ἀγαθῶν ἔργων» «τὴν οἰκουμένην φωτίζοντες», ὡς εἶπεν ὁ Ποιητὴς περὶ «τῶν τοιούτων ἡλίων· "λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων"[4147], καὶ "τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος"[4148]»[4149]. Οὕτως «οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία ἀνεδείχθη, ἅπαντας φωταγωγοῦσα τοὺς πιστούς»[4150].

Ὁ Χριστὸς οἰκοδομεῖ καὶ μεγαλύνει «τὴν Ἐκκλησίαν» «διὰ τῆς προσθήκης τῶν σωζομένων», καὶ «ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν ποιεῖται τοῦ σώματος αὐτοῦ[4151]»[4152]. «Καὶ γὰρ ἡ Ἐκκλησία σῶμά ἐστι» Χριστοῦ[4153] καὶ ὁ Χριστός, «ἐπειδὴ πολλαχῇ (πολλάκις) Χριστὸς ἡ Ἐκκλησία παρὰ τοῦ Παύλου κατονομάζεται»[4154]. Διὸ «ὁ πρὸς τὴν Ἐκκλησίαν βλέπων, πρὸς τὸν Χριστὸν ἄντικρυς βλέπει»[4155]. «Ἡ τοῦ Θεοῦ Ἐκκλησία» «ὁδὸς βασιλικὴ» ἐστι «καὶ ὁδοιπορία τῆς ἀληθείας»[4156]. «Ὥσπερ τοίνυν ὁ πρὸς τὸν αἰσθητὸν ἀπιδὼν (προσεκτικῶς ἰδὼν) κόσμον» καὶ ἐκ τοῦ κάλλους «τῶν ὄντων» τὴν «σοφίαν κατανοήσας, ἀναλογίζεται διὰ τῶν ὁρωμένων τὸ ἀόρατον κάλλος» τοῦ Δημιουργοῦ «καὶ τὴν πηγὴν τῆς σοφίας», οὕτω καὶ ἐνταῦθα. Ὁ «πρὸς τὸν καινὸν τοῦτον κόσμον τῆς κατὰ τὴν Ἐκκλησίαν κτίσεως βλέπων, ὁρᾷ ἐν αὐτῷ τὸν πάντα· ἐν πᾶσιν ὄντα καὶ γινόμενον» Χριστόν. Οὕτω, «διὰ τῶν χωρητῶν τε καὶ καταλαμβανομένων», χειραγωγεῖται «ὑπὸ

4142. Γρηγορ. Νύσσης, PG. 46, 605.
4143. Γρηγορ. Νύσσης, PG. 44, 1049.
4144. Γρηγορ. Νύσσης, PG. 46, 605.
4145. Ματθ. ε' 14.
4146. Φιλιππησ. β' 15.
4147. Ματθ. ε' 16.
4148. Ματθ. ιγ' 43.
4149. Γρηγορ. Νύσσης, PG. 44, 1049.
4150. Ὄρθρου 13ης Σεπτεμβρίου.
4151. Ἐφεσ. δ' 16.
4152. Γρηγορ. Νύσσης, PG. 44, 1048.
4153. Χρυσοστόμου, PG. 48, 1032.
4154. Γρηγορ. Νύσσης, PG. 44, 385.
4155. Γρηγορ. Νύσσης, PG. 44, 1048.
4156. Ἐπιφανίου Κύπρου, PG. 41, 1036.

τῆς» ὀρθοδόξου «πίστεως» εἰς «τὴν γνῶσιν πρὸς τὸ ἀχώρητον»[4157].

